λύθαμεν, ἐσῶν, ὡς ἔπος εἰπεῖν, ἀπεράντων. ΘΕΑΙ. Ἀδύνατον γὰρ, ὡς ἔοικεν, εἴη τὸν σοφιστὴν ἐλεῖν, εἰ ταῦτα ὕτως ἔχει. ΞΕ. Τί δῆν; ὕτως ἀποσησόμεθα νῦν μαλακισθέντες; [2] ΘΕΑΙ. Οὔκουν ἔγωγε φημὶ δεῖν, εἰ καὶ κατὰ σμικρὸν οἷοί τ' ἐπιλαβέσθαί πη τἀνδρὸς ἐσμέν. ΞΕ. Ἕξεις ἦν συγγνώμην, καὶ, καθάπερ νῦν εἶπες, ἀγαπήσεις, ἐάν πη καὶ κατὰ βραχὺ παρασπασώμεθα ὕτως ἰσχυρῶ λόγω. [4] ΘΕΑΙ. Πῶς γὰρ ἂχ ἕξω; ΞΕ. Τόδε τοίνυν ἔτι μᾶλλον παραιτῆμαί σε. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Μή με οἷον πατραλοίαν ὑπολάβῃς γίγνεσθαι τινά. ΘΕΑΙ. Τί δή; ΞΕ. Τὸν τῆ πατρὸς Παρμενίδε λόγον ἀναγκαῖον ἡμῖν ἀμυνομένοις ἔσαι βασανίζειν καὶ βιάζεσθαι, τό, τε μὴ ὂν ὡς ἔστι κατά τι, καὶ τὸ ὂν αὖ πάλιν ὡς ἂκ ἔστι πη. ΘΕΑΙ. Φαίνεται τὸ τοιῦτον διαμαχητέον ἐν τοῖς λόγοις. ΞΕ. Πῶς γὰρ ὐ φαίνεται, καὶ τὸ λεγόμενον δὴ τῦτο, τυφλῶ; τέτων γὰρ μήτε ἐλεγχθέντων, μήτε ὁμολογηθέντων, σχολῆ ποτέ τις οἶός τε ἔσαι περὶ λόγων ψευδῶν λέγων, ἢ δόξης, εἴτε εἰδώλων εἴτε εἰκόνων, εἴτε μιμημάτων, εἴτε φαντασμάτων αὐτῶν, ἢ καὶ περὶ τεχνῶν τῶν ὅσαι περὶ ταῦτα εἰσὶ, μὴ καταγέλασος ἔναι, τα ἐναντία ἀναγκαζόμενος αὐτῷ [5] λέγειν. ΘΕΑΙ. Ἀληθέσατα. ΞΕ. Διὰ ταῦτα μέντοι τολμητέον ἐπιτίθεσθαι τῷ πατρικῷ λόγῳ· ἢ τοπαράπαν ἐατέον, εἰ τῦτό τις ἔργει δρᾶν ὄκνος. ΘΕΑΙ. Ἀλλ' ἡμᾶς τῦτό γε μηδὲν μηδαμῆ ἔρξῃ. ΞΕ. Τρίτον τοίνυν ἔτι σε σμικρόν τι παραιτήσομαι. ΘΕΑΙ. Λέγε μόνον. ΞΕ. Εἰπόν πε νῦν δὴ λέγων, ὡς πρὸς τὸν περὶ ταῦτ'

2. Timaeus Gloss. ἐμαλακίσθη· ἐνέδωκε, καὶ ἀσθενῶς διετέθη ὑπὸ δειλίας· vbi v. Ruhnquenius. Legitur hoc ipso sensu infra s. 50.

3. Ald. Bas. 1. 2 καταβραχύ.

4. Bas. 2 λόγον. operarum incuria.

5. Ald. Bas. 1. 2 αὐτῷ.

ταῦτ' ἔλεγχον ἀεί τε ἀπειρηκὼς ἐγὼ τυγχάνω, καὶ δὴ καὶ τανῦν. ΘΕΑΙ. Εἶπες. ΞΕ. Φοβοῦμαι δὴ τὰ εἰρημένα, μήποτε διὰ ταῦτά σοι μανικὸς εἶναι δόξω, παρὰ πόδα [6] μεταβαλὼν ἐμαυτὸν ἄνω καὶ κάτω. σὴν γὰρ δὴ χάριν [7] ἐλέγχειν τὸν λόγον ἐπιθησόμεθα, [8] ἐάνπερ ἐλέγχωμεν. ΘΕΑΙ. Ὡς τοίνυν ἔμοιγε μηδαμῆ δόξων μηδὲν πλημμελεῖν, ἂν ἐπὶ τὸν ἔλεγχον τοῦτον καὶ τὴν ἀπόδειξιν ἴῃς, θαρρῶν ἴθι τούτου γε ἕνεκα. ΞΕ. Φέρε δή, τίνα ἀρχήν τις ἂν ἄρξαιτο παρακινδυνευτικῶς λόγου; δοκῶ μὲν γὰρ τήνδ', ὦ παῖ, τὴν ὁδὸν ἀναγκαιοτάτην ἡμῖν εἶναι τρέπεσθαι. ΘΕΑΙ. Ποίαν δή; ΞΕ. Τὰ δοκοῦντα νῦν ἐναργῶς ἔχειν, ἐπισκέψασθαι πρῶτον, μή πη τεταραγμένοι μένωμεν [2] περὶ ταῦτα, ῥᾳδίως δ' ἀλλήλοις ὁμολογῶμεν, ὡς εὐπρεπῶς ἔχοντες. ΘΕΑΙ. Λέγε σαφέστερον ὃ λέγεις. ΞΕ. Εὐκόλως [3] μοι δοκεῖ Παρμενίδης ἡμῖν διειλέχθαι, καὶ πᾶς ὅστις [4] πώποτε περὶ κρίσιν ὥρμησε τοῦ τὰ ὄντα διορίσασθαι πόσα τε καὶ ποῖά ἐστι. ΘΕΑΙ. Πῇ; [5] ΞΕ. Μῦθόν τινα ἕκαστος φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς ὄντιν ἡμῖν. ὁ μὲν, ὡς τρία τὰ ὄντα· πολεμεῖ δὲ ἀλλήλοις ἐνίοτε αὐτῶν ἄττα πη· ποτὲ δὲ [6] φίλα γι-

γνό-

6. Hesychius: παρὰ πόδα· εὐθέως.

7. Suidas: ἐμὴν χάριν· συντάσσεται, ἀντὶ τοῦ ἐμοῦ ἕνεκεν, παρὰ Πλάτωνι. Intell. κατά. vid. Gregorius de Dialectis p. 12 ibique Koenius.

8. Ald. Bas. 1. 2 ἐπεθησόμεθα.

1. Ald. Bas. 1. 2 δοκῶμεν.

2. Bas. 2 μὲν ὦμεν. vere, opinor: praesertim quum sequatur δέ. Ficinus vertit, *ne rerum difficultate deterriti, ab inceptis protinus desistamus.*

3. Hunc locum excerpsit Eusebius Praepar. Euang. 14, 4 p. 724 f. inde a verbis εὐκόλως μοι vsque ad verba ἀνδράσιν ἐπιτιμᾷν.

4. Euseb. ἅτις ἡμῖν πώποτε.

5. Abest a libris Eusebii.

6. Ita legitur etiam in Bas. 2: sed Ald. Bas. 1 ἄττα πῃ· τοτὲ δέ· Euseb. ἄττα πη, τοτὲ δὲ καί. Difficile est definire, vtrum genuinum sit, quum et ποτὲ μὲν — ποτὲ

δὲ

γνόμενα, γάμους τε καὶ τόκους καὶ τροφὰς τῶν ἐκγόνων [7] παρέχεται. δύο δὲ ἕτερος εἰπὼν, ὑγρὸν καὶ ξηρὸν, ἢ θερμὸν καὶ ψυχρὸν, συνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσί. [8] τὸ δὲ παρ' ἡμῶν [9] Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους [10] τε καὶ ἔτι πρόσθεν ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων, ἕτω διεξέρχεται τοῖς μύθοις. Ἰάδες δὲ καὶ Σικελικαί τινες [11] ὕστερον

δὲ, [Xen. Oecon. 17, 6] et τοτὲ μὲν — τοτὲ δὲ, vt paucis versibus post, dicatur, ita vt nunc loco particularum ποτὲ μὲν et τοτὲ μὲν ponatur ἐνίοτε, nunc loco particularum ποτὲ δὲ et τοτὲ δέ. Sic ap. Platonem Phaedon. 2 est ποτὲ μὲν — ἐνίοτε δέ.

7. Euseb. ἐγγόνων· quae est solennis horum verborum in libris antiquis permutatio.

8. Ald. Bas. 1 αὐτὰ ἐκδίδωσι. male. nam et particula τε, et ipsa orationis series, abesse particulam καὶ vetant. Etiam Ficinus eam expressit in Versione Latina: sed verba καὶ ἐκδίδωσι male reddidit *atque expedivit*, quum vel verbum συνοικίζειν doceat, ἐκδιδόναι hoc loco ita positum esse, vt *collocare* apud Latinos in formula *filiam collocare*.

9. In libris Eusebii est παρ' ἡμῖν Ἐλεατικὸν ἔθνος ἅπαν· vt Platonem scripsisse Stephanus putabat.

10. At Diogenes Laërtius 9, 19 de Xenophane: Φησὶ δὲ τέτταρα ἔτη τῶν ὄντων στοιχεῖα. Cicero tamen Acadd. 4, 37 *Xenophanes*, inquit, *paullo etiam antiquior*, vnum *esse* omnia —.

11. Serranus putabat, intellegi Thaletem, sectae Ionicae principem, et Pythagoram, auctorem philosophiae Siculae, siue Italicae, remittebatque ad Annotationes ad hunc locum suas. At primo nihil ibi ea de re disputatum video: deinde ista sententia est longe vanissima. repugnant enim ipsa Platonis verba. Nam primo vocabulum ὕστερον docet, intellegi philosophum, qui post Xenophanem vixerit: deinde nomen μῶσαι declarat, significari philosophum, qui idem poëta fuerit: vt taceam, philosophiam Italicam a nemine vnquam dictam esse *Siculam*. Immo intellegitur *Empedocles*. Nam hic vixit *post* Xenophanem: fuit philosophus Arigentinus, atque adeo *Siculus*, idemque *poëta*, qui in Carmi-

ρον μᾶσαν ξυνενόησαν ὅτι συμπλέκειν ἀσφαλέσατον ἀμφότερα· καὶ λέγειν ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθρᾳ δὲ καὶ φιλίᾳ συνέχεται. διαφερόμενον γὰρ ἀεὶ ξυμφέρεται, φασὶν αἱ συντονώτεραι τῶν μαστῶν· αἱ δὲ μαλακώτεραι, τὸ μὲν ἀεὶ ταῦτα ἅτως ἔχειν, ἐχάλασαν· ἐν μέρει δὲ, τοτὲ μὲν ἓν εἶναι φασὶ τὸ πᾶν καὶ φίλον ὑπ' Ἀφροδίτης. τοτὲ δὲ, πολλά, [12] καὶ πολέμιον αὐτὸ αὑτῷ διὰ νεῖκός τι. ταῦτα δὲ πάντα εἰ μὲν ἀληθῶς τὶς ἢ μὴ τάτων εἴρηκε, χαλεπὸν καὶ πλημμελὲς ἅτω μεγάλα κλεινοῖς καὶ παλαιοῖς ἀνδράσιν ἐπιτιμᾶν· ἐκεῖνο δὲ ἀνεπίφθονον ἀποφήνασθαι. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὅτι λίαν τῶν πολλῶν ἡμῶν ὑπεριδόντες ὠλιγώρησαν. ἐδὲν γὰρ φροντίσαντες εἴτ' ἐπακολουθοῦμεν αὐτοῖς λέγουσιν, εἴτε ἀπολειπόμεθα, περαίνουσι τὸ σφέτερον αὐτοὶ ἕκαστοι. ΘΕΑΙ. Πῶς λέγεις; ΞΕ. Ὅτάν τις αὐτῶν φθέγξηται, λέγων, ὡς ἔστιν, ἢ γέγονεν, ἢ γίγνεται πολλὰ, ἢ δύο, ἢ ἕν, [14] καὶ θερμὸν αὖ ψυχρῷ συγκεραννύμενον, ἄλλοθί πη [15] διακρίσεις

minibus suis vsus est *Ionica* lingua: denique docuit, quae in rerum natura totoque mundo constarent, ea contrahere *amicitiam* [φιλίαν], dissipare *discordiam* [νεῖκος]. vid. Cic. Lael. 7, Euseb. P. E. 1 p. 16 Steph. et omnino Poëtis philosophica Henr. Stephanip. 18 ff. Etiam Vigerus ad Eusebii Praep. Eu. 14, 4 p. 725 vidit, verba Platonis de Empedocle accipienda esse, non minus, quam Pe. Petitus Obseruatt. miscell. 2, 10: qui omnino de hoc loco legendus est.

12. Bas. 2 τοτὲ δὲ καὶ πολλά. male.

13. Ald. Bas. 1. 2 αὐτῷ.

14. Marg. Steph. γρ᾽ οἱ ἢ ἓ ἓν, ἢ δύο. Immo scribi debebat ἢ ἓν, ἢ δύο. nam indicare voluit Stephanus haud dubie lectionem Bas. 2, quo in libro est ἢ ἓν ἢ δύο· quae ipsa fuit librorum Ficini scriptura. est enim in Versione eius Latina, *multa aut vnum, aut duo.*

15. Ita legitur in Bas. 2. Sed Ald. habet ἄλλο θέη· e quo in Bas. 1 aeque perperam factum est ἄλλο θέη· cuius lectionis origo ignorare-

καὶ συγκρίσεις ὑποτιθεὶς, τάττων, ὦ Θεαίτητε, ἑκάστοτε σὺ τὶ πρὸς θεῶν ξυνίης [16] ὅ, τι [17] λέγεσιν; ἐγὼ μὲν γὰρ ὅτε μὲν ἦν νεώτερος, τοῦτό τε τὸ νῦν ἀπορούμενον, ὁπότε τις εἴποι τὸ μὴ ὂν, ἀκριβῶς ᾠμην ξυνιέναι· νῦν δὲ ὁρᾷς ἵν' ἐσμὲν αὐτοῖς περὶ τῆς ἀπορίας. ΘΕΑΙ. Ὁρῶ. ΞΕ. Τάχα τοίνυν ἴσως ἐχ ἧττον καὶ κατὰ τὸ ὂν ταὐτὸ τοῦτο πάθος εἰληφότες ἐν τῇ ψυχῇ, περὶ μὲν τοῦτο εὐπορεῖν φαμὲν, καὶ μανθάνειν ὁπόταν τις αὐτὸ φθέγξηται· περὶ δὲ θάτερον, ὅ· πρὸς ἀμφότερα ὁμοίως ἔχοντες. ΘΕΑΙ. Ἴσως. ΞΕ. Καὶ περὶ τῶν ἄλλων δὴ τῶν προειρημένων ἡμῖν ταὐτὸ τοῦτο ἐρήσθω. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τῶν μὲν τοίνυν πολλῶν πέρι καὶ μετὰ τοῦτο [1] σκεψόμεθ', ἂν δόξῃ· περὶ δὲ τοῦ μεγίστου τε καὶ ἀρχηγοῦ πρώτου [2] νῦν σκεπτέον. ΘΕΑΙ. Τίνος δὴ λέγεις; ἢ δῆλον ὅτι [3] τὸ ὂν φῂς πρῶτον δεῖν διερευνήσασθαι, τί ποθ' οἱ λέγοντες αὐτὸ δηλοῦν ἡγοῦνται; ΞΕ. Κατὰ πόδα [4] γε,

raretur sane a lectoribus, nisi vitiosam libri Aldini scripturam viderent.

16. Sic Stephanus recte scribere operas iussit pro ξυνίας, vt legitur in Ald. Bas. 1. 2: quum locus Praesens, non Imperfectum, requirat.

17. Ald. Bas. 1. 2 ὅτι.

1. Ald. Bas. 1. 2 μετατοῦτο.

2. Ald. ἀρχηγοῦ πρώτου· e quo extitit in Bas. 1 ἀρχυγοῦ πρότυ· in Bas. 2 ἀρχηγοῦ πρώτυ. Neque sane Ficinus aliter legisse videtur, quum verterit, *de maximo vero praecipuoque et primo nunc iam cogitandum.* Sed res ipsa et orationis series confirmant scripturam πρῶτον, praesertim quum Theaetetus quaerat ἢ δῆλον ὅτι — πρῶτον δεῖν διερευνήσασθαι.

3. Ald. Bas. 1. 2 δηλονότι. Sed Stephanus recte diremit vocabulum. Caeterum Serranus, auctoritate Codicis sui, in quo afuisse ait interrogationis notam post ἡγοῦνται, verba ἢ δηλονότι, sic enim legit, simpliciter accepit, sine interrogatione, *vel nimirum dicis.* male.

4. Hesychius: κατὰ πόδας — κατ' ἀξίαν —, hoc est, *recte.*

γε, ὦ Θεαίτητε, ὑπέλαβες. λέγω γὰρ δὴ ταύτην δεῖν ποιεῖσθαι τὴν μέθοδον ἡμᾶς, οἷον αὐτῶν παρόντων ἀναπυνθανομένους ὧδε. Φέρε, ὁπόσοι θερμὸν καὶ ψυχρὸν, ἤ τινε δύο τοιάτω, τὰ πάντ' εἶναι φατὲ, τί ποτε ἄρα τᾶτ' ἀμφοῖν φθέγγεσθε, λέγοντες ἄμφω καὶ ἑκάτερον εἶναι; τί τὸ εἶναι τᾶτο ὑπολαίβωμεν ὑμῶν; πότερον τρίτον παρὰ τὰ [5] δύο ἐκεῖνα, καὶ τρία τὸ πᾶν; ἀλλὰ μὴ δύο ἔτι καθ' ὑμᾶς [6] τιθῶμεν; ἀ γάρ πω τοῖν γε δυοῖν καλᾶντες θάτερον ἓν, ἀμφότερα ὁμοίως εἶναι λέγετε. σχεδὸν γὰρ ἂν ἀμφοτέρως ἓν, ἀλλ' ἀ δύο ἦτην. ΘΕΑΙ. Ἀληθῆ λέγεις. ΞΕ. Ἀλλ' ἆρα [7] γε τὰ ἄμφω βέλεσθε καλεῖν ἕν; ΘΕΑΙ. Ἴσως ΞΕ. Ἀλλ' ὦ φίλοι, φήσομεν, καὶ ἅτω τὰ δύο λέγοιτε ἂν σαφέστατα ἕν. ΘΕΑΙ. Ὀρθότατα εἴρηκας. ΞΕ. Ἐπειδὴ τοίνυν ἡμεῖς ἠπορήκαμεν ὑμεῖς αὐτὰ ἡμῖν ἐμφανίζετε ἱκανῶς, τί ποτε βέλεσθε σημαίνειν, ὁπόταν ἓν φθέγγησθε. δῆλον γὰρ ὡς ὑμεῖς [8] μὲν ταῦτα πάλιν [9] γιγνώσκετε· ἡμεῖς δὲ πρότᾰ μὲν ᾠόμεθα, [10] νῦν δ' ἠπορήκαμεν. διδάσκετε ἓν πρῶτον τᾶτ' αὐτὸ ἡμᾶς, ἵνα μὴ δοξάζωμεν μανθάνειν μὲν τὰ λεγόμενα παρ' ὑμῶν, τὸ δὲ τάτε γίγνηται πᾶν τἐναντίον. ταῦτα δὴ λέγοντές τε καὶ ἀξιοῦντες παρά τε τᾶτων καὶ παρὰ τῶν ἄλλων, ὅσοι πλεῖον ἑνὸς λέγεσι τὸ πᾶν εἶναι, μῶν, [12] ὦ παῖ, τὶ πλημμελήσομεν;

μεν;

5. Baf. 1 τὸ —. mendose.

6. Ald. Baf. 1. 2 ἡμᾶς. At Ficinus quoque habet, *secundum vos.*

7. Ald. Baf. 1. 2 ἄρα.

8. Ald. Baf. 1 ἡμᾶς.

9. Baf. 1. 2 πάλιν, vt legit Ficinus, in cuius Versione est, *constat enim, vos* iamdiu *rem nouisse:* etiam Serranus. recte. Πάλιν est ab Aldo profectum.

10. Intell. γιγνώσκειν· vt Serranus iam et Stephanus monuere.

11. Francof. ἡμῶν. incuria operarum.

12 Moeris: Μῶν, Ἀττικῶς· μὴ ἄρα, Ἑλληνικῶς.

32 μεν; ΘΕΑΙ. Ἥκιστά γε. ΞΕ. Τί δαί; παρὰ τῶν ἓν τὸ πᾶν λεγόντων ἆρ' ὀ πευστέον εἰς δύναμιν, τί ποτε λέγουσι τὸ ὄν; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Τόδε τοίνυν ἀποκρινέσθωσαν. ἕν που φατὲ μόνον εἶναι; φαμὲν γάρ, φήσουσιν. ἦ γάρ; ΘΕΑΙ. Ναί. ΞΕ. Τί δέ; ὂν καλεῖτέ τι; ΘΕΑΙ. Ναί. ΞΕ. Πότερον ὅπερ ἕν; ἐπὶ τῷ αὐτῷ προσχρώμενοι δυοῖν ὀνόμασιν; ἢ πῶς; ΘΕΑΙ. Τοῖς οὖν αὐτοῖς ἡ μετὰ τοῦτο, ξένε, ἀπόκρισις. ΞΕ. Δῆλον, ὦ Θεαίτητε, ὅτι τῷ ταύτην τὴν ὑπόθεσιν ὑποθεμένῳ πρὸς τὸ νῦν ἐρωτηθὲν, καὶ πρὸς ἄλλο δὲ ὁτιοῦν, ὀ πάντως ῥᾷστον ἀποκρίνασθαι. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ δὲ δύο ὀνόματα ὁμολογεῖν εἶναι, μηδὲν θέμενον πλὴν ἓν, καταγέλαστόν που. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Καὶ τὸ παράπαν γε ἀποδέχεσθαι τοῦ λέγοντος, ὡς ἔστιν[1] ὀνόμά τι, λόγον οὐκ ἂν ἔχοι.[2] ΘΕΑΙ. Πῇ; ΞΕ. Τιθείς γε[3] τοὔνομα τοῦ πράγματος ἕτερον, δύο λέγει[4] που τινέ. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν[5] ἂν ταυτόν γε αὐτῷ τιθῇ τοὔνομα, ἢ μηδενὸς ὄνομα ἀναγκασθήσεται λέγειν· εἰ δέ τινος αὐτὸ φήσει,[6] συμβήσεται τὸ ὄνομα

1. Ald. Baſ. 1. 2 ἔστι.

2. Ald. Baſ. 1. 2 ἔχον, quod referatur ad ὄνομα. Etiam Ficinus ita legit. id quod eius Verſio Latina ſatis declarat, in qua eſt *ſi quis nomen eſſe dicat, cuius nulla ſit ratio.* Sed Stephani correctio haud dubie vera eſt, quum verba καὶ τὸ παράπαν γε ἀποδέχεσθαι neceſſario requirant verba quaedam, ad quae ipſa referantur.

3. Ald. Baſ. 1. 2 τε, male.

4. Ald. Baſ. 1. 2 λέγειν. male. Ficinus recte habet, *duo quaedam inducit.*

5. Ald. Baſ. 1 καὶ μέν. perperam. Sed multis quoque aliis locis huius Dialogi particula μὲν ſic locum particulae occuparat in libris antiquis.

6. Baſ. 1 φύσει. Caeterum Stephanus in notis recte monuit, pro εἰ δέ τινος Platonem ſcribere debuiſſe ἢ εἴ τινος, quod praecederet ἢ μηδενός. At eiuſmodi ſcilicet ἀνακολουθίας fert ſermonis cotidiani ingenium.

μα ἑνέματος ὄνομα μόνον, ἄλλα δὲ ἑδενὸς ὄν. ΘΕΑΙ. Οὕτω. ΞΕ. Καὶ τὸ ἕν γε, ἑνὸς ἓν ὂν μόνον, καὶ τοῦτο ἑνέματος αὐτὸ ἓν ὄν. ΘΕΑΙ. Ἀνάγκη. ΞΕ. Τί δέ; τὸ ὅλον ἕτερον τοῦ ἐντὸς ἑνὸς, ἢ ταυτὸν φήσσει τούτῳ; ΘΕΑΙ. Πῶς γὰρ ἃ φήσσει τε καὶ φασί; ΞΕ. Εἰ τοίνυν ὅλον ἐστὶν, ὥσπερ καὶ Παρμενίδης λέγει, Πάντοθεν [7] ἐυκύκλα σφαίρας ἐναλίγκιον ὄγκῳ, Μεσσόθεν ἰσοπαλὲς πάντη. τὸ γὰρ [8] ἔτέ τι μεῖζον Οὔτε βεβαιότερον πέλει, χρεών ἐστι τῇ ἢ τῇ, τοιοῦτόν γε ὂν, τὸ ὄν, μέσον τε καὶ ἔσχατον ἔχειν. ταῦτα δὲ ἔχον, πᾶσα ἀνάγκη μέρη ἔχειν. ἢ πῶς; ΘΕΑΙ. Οὕτω. ΞΕ. Ἀλλὰ μὴν τό γε μεμερισμένον, πάθος μὲν τοῦ ἑνὸς ἔχειν [9] ἐπὶ τοῖς μέρεσι πᾶσιν,

7. Ald. πάτοθεν.

8. Cornarius in Eclogis legi hos Parmenidis versiculos atque constitui sic iubebat, πάντοθεν ἐυκ. σφαίρας ἐναλ. ὄγκῳ, Μεσσόθεν ἰσοπ. πάντη, τῷ γ' ἔτε τι μεῖζον Οὔτε βεβαιότερον πέλει. nam in Ald. Bas. 1. 2 est τὸ γὰρ — βεβαιότερος πέλειν. Sed Ficinus quoque βεβαιότερον πέλει legit, quum reddiderit *neque potentius est:* et Stephanus has lectiones recte recepit. At pro τὸ γὰρ haud dubie reponendum est τῷ γ', aut certe τῶ γ', et orationis sententiæ, et legibus Grammatices postulantibus. Ficinus vertit, *eo namque maius* —. Caeterum transtulit hos versus in Poëtin philosophicam Stephanus p. 44; sed male legit πέλειν, et, quod multo maius peccatum est, coniunxit hoc verbum cum verbis χρεών ἐστι, ita vt putarit, verba χρεών ἐστι — ἔσχατον ἔχειν esse ipsa quoque Parmenidis verba, atque adeo versiculos. vnde etiam μέσσον scripsit pro μέσον. At sunt verba Hospitis, et quum ἔχειν, vt legitur in Ald. Bas. 1. 2, cohaereat cum verbis χρεών ἐστι, Cornarius illud recte mutandum in ἔχειν vidit: quam eius auctoritatem Stephanum hic sequutum apparet. Iam in Versione Ficini est, *necessarium est — ipsum ens medium extremaue habere.*

9. Ald. Bas. 1. 2 τοῦ ἑνὸς τοῖς ἔχειν. Sed iam Cornarius vidit, Articulum τοῦ tollendum esse.

ἐδὲν ἀποκωλύει, καὶ ταύτῃ δὴ πᾶν τε ὂν καὶ ὅλον, ἓν εἶναι. ΘΕΑΙ. Τί δ' οὔ; ΞΕ. Τὸ δὲ πεπονθὸς ταῦτα, ἆρ' οὐκ ἀδύνατον αὐτό γε τὸ ἓν αὐτὸ εἶναι; ΘΕΑΙ. Πῶς; ΞΕ. Ἀμερὲς δήπου δεῖ παντελῶς τό γε ἀληθῶς ἓν κατὰ τὸν ὀρθὸν λόγον εἰρῆσθαι. ΘΕΑΙ. Δεῖ γὰρ ἕν. ΞΕ. Τὸ δέ γε τοιοῦτον, ἐκ πολλῶν μερῶν ὂν, ᾧ συμφωνήσει τῷ ὅλῳ. ΘΕΑΙ. Μανθάνω. ΞΕ. Πότερον δὴ πάθος ἔχον τὸ ὅλον τοῦ ἑνὸς, ἅτως ἕν τε ἓσαι καὶ ὅλον, ἢ παντάπασι μὴ λέγωμεν ὅλον εἶναι τὸ ὄν; ΘΕΑΙ. Χαλεπὴν προβέβληκας αἵρεσιν. ΞΕ. Ἀληθέσατα μέντοι λέγεις. πεπονθός τε γὰρ τὸ ὂν ἓν εἶναί πως, ᾧ ταυτὸν ὂν τῷ ἑνὶ φαίνεται, καὶ πλέονα δὴ τὰ πάντα ἑνὸς ἔσαι; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἐάν γε τὸ ὂν ᾖ μὴ ὅλον, διὰ τὸ πεπονθέναι τὸ ὑπ' ἐκείνε πάθος, ᾗ δὲ αὐτὸ τὸ ὅλον, ἐνδεὲς τὸ ὂν ἑαυτῷ ξυμβαίνει. ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ἑαυτῷ σερόμενον, ἐκ ὂν ἔσαι τὸ ὄν. ΘΕΑΙ. Οὕτω. ΞΕ. Καὶ ἑνός γε αὖ πλέω τὰ πάντα γίγνεται, τῷ τε ὄντος καὶ τῷ ὅλε χωρὶς ἰδίαν ἑκατέρε φύσιν εἰληφότος. ΘΕΑΙ. Ναί. ΞΕ. Μὴ ὄντος δέ γε τοπαράπαν τῷ ὅλε, ταῦτά τε ταὐτὰ [10] ὑπάρχει τῷ ὄντι, καὶ πρὸς τῷ μὴ εἶναι, μηδ' ἂν γενέσθαι ποτὲ ὄν. ΘΕΑΙ. Τί δή; ΞΕ. Τὸ γενόμενον ἀεὶ γέγονεν ὅλον. ὥσε ἔτε ὐσίαν, ἔτε γένεσιν, ὡς ἔσαν, δεῖ προσαγορεύειν, τὸ ἓν ἢ τὸ ὅλον ἐν τοῖς ἔσι μὴ τιθέντα. ΘΕΑΙ. Παντάπασιν ἔοικε ταῦθ' ἅτως ἔχειν. ΞΕ. Καὶ μὴν ἀδ' ὁποσονῦν τι δεῖ τὸ μὴ ὅλον εἶναι. ποσόν τι γὰρ ὂν, ὁπόσον ἂν ᾖ, τοσοῦτον ὅλον ἀναγκαῖον αὐτὸ εἶναι. ΘΕΑΙ. Κομιδῇ γε. ΞΕ. Καὶ τοίνυν ἄλλα μυρία ἀπεράντως ἀπορίας ἔκασον εἰλη-

10. Ald. Baf. 1. 2 ταῦτα. quae eſt admodum folennis horum Pronominum permutatio.

εἰλήφὸς φανεῖταϛ,[11] τῷ τὸ ὂν εἴτε δύο τινὲ, εἴτε ἓν μόνον εἶναϛ λέγοντι. ΘΕΑΙ. Δηλοῖ σχεδὸν καὶ τὰ νῦν ὑποφαίνοντα. συνάπτεται γὰρ ἕτερον ἐξ ἄλλου, μείζω καὶ χαλεπωτέραν φέρον περὶ τῶν ἔμπροσθεν ἀεὶ ῥηθέντων πλάνην. ΞΕ. Τὰς μὲν[1] τοίνυν διακριβολογουμένους ὄντος τε πέρι καὶ μὴ, πάνυ[2] μὲν 33
ἐ διεληλύθαμεν· ὅμως δὲ[3] ἱκανῶς ἐχέτω. τὰς δὲ ἄλλως λέγοντας αὖ θεατέον; ἵν' ἐκ πάντων εἰδῶμεν[4] ὅτι τὸ ὂν τῷ μὴ ὄντος ἧδὲν εὐπορώτερον εἰπεῖν ὅ, τι[5] ποτ' ἐστί.[6] ΘΕΑΙ. Οὐκοῦν πορεύεσθαι χρὴ καὶ ἐπὶ τούτους. ΞΕ. Καὶ μὴν ἔοικέ γε ἐν αὐτοῖς εἶον γιγαντομαχία τὶς εἶναι, διὰ τὴν ἀμφισβήτησιν περὶ τῆς οὐσίας πρὸς ἀλλήλους. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἱ μὲν εἰς γῆν ἐξ οὐρανοῦ καὶ τῶν ὁρατῶν πάντα ἕλκουσι, ταῖς χερσὶν ἀτεχνῶς πέτρας καὶ δρῦς περιλαμβάνοντες. τῶν γὰρ τοιούτων ἐφαπτόμενοι πάντων, διϊσχυρίζονται τοῦτο εἶναι μόνον ὃ παρέχει προσβολὴν καὶ ἐπαφήν τινα, ταυτὸν σῶμα καὶ οὐσίαν ὁριζόμενοι. τῶν δὲ ἄλλων εἴ τις φησὶ[7] μὴ σῶμα ἔχον εἶναι, καταφρονοῦντες τοπαράπαν, καὶ ἧδὲν ἐθέλοντες ἄλλο ἀκούειν. ΘΕΑΙ. Ἦ δεινὸς εἴρηκας ἄνδρας. ἤδη γὰρ καὶ ἐγὼ τούτων συχνοῖς περιέτυχον.[8] ΞΕ. Τοιγαροῦν οἱ πρὸς αὐτοὺς ἀμφισβητοῦντες,

11. Marg. Steph. γρ. φαίνεται· quae est Baf. 2 lectio.

1. Euseb. ἴδωμεν· quod alteri praeferebat Stephanus.

2. Euseb. πάντας.

3. Euseb. δ'.

4. Etiam hunc locum habet Euseb. Praep. Euang. 14, 4 p. 725 f. vsque ad verba ἀεὶ ξυνέσηκεν.

5. Ald. ὅτι.

6. Euseb. ποτέ ἐστιν — ἐπὶ τούτοις.

7. Stephanus τι post φησὶ intellegendum putabat, aut certe post τις. recte. Nam altera eius ratio, quum addit, *nisi deesse dicatur*, vana est et leuis. Euseb. φήσει.

8. Hesychius: περιέτυχον· συνέτυχον. Euseb. τούτων πλέον συχνοῖς προσέτυχον.

τες, μάλα εὐλαβῶς ἄνωθεν ἐξ ἀοράτου πεθὲν ἀμύνονται, νοητὰ ἄττα καὶ ἀσώματα εἴδη βιαζόμενοι τὴν ἀληθινὴν οὐσίαν εἶναι· τὰ δὲ ἐκείνων σώματα καὶ τὴν λεγομένην ὑπ' αὐτῶν [9] ἀλήθειαν κατὰ σμικρὰ διαθραύοντες ἐν τοῖς λόγοις, γένεσιν ἀντ' οὐσίας φερομένην τινὰ προσαγορεύουσιν. ἐν μέσῳ δὲ περὶ ταῦτα ἄπλετος [10] ἀμφοτέρων μάχη τις, ὦ Θεαίτητε ἀεὶ ξυνέσηκε. [11] ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Παρ' ἀμφοῖν τοίνυν τοῖν γενοῖν κατὰ μέρος λάβωμεν λόγον ὑπὲρ ἧς τίθενται τῆς οὐσίας. ΘΕΑΙ. Πῶς ἔν δὴ ληψόμεθα; ΞΕ. Παρὰ μὲν τῶν ἐν εἴδεσιν αὐτὴν τιθεμένων, ῥᾷον· ἡμερώτεροι [12] γάρ· παρὰ δὲ τῶν εἰς σῶμα πάντα ἑλκόντων βίᾳ, χαλεπώτερον. [13] ἴσως δὲ σχεδὸν ἀδύνατον. ἀλλ' ὧδέ μοι δεῖν δοκεῖ περὶ αὐτῶν δρᾶν. ΘΕΑΙ. Πῶς; ΞΕ. Μάλιστα μέν, εἴ πῃ δυνατὸν ἦν ἔργῳ βελτίους αὐτοὺς ποιεῖν· εἰ δὲ τοῦτο μὴ ἐγχωρεῖ, λόγῳ ποιῶμεν, ὑποτιθέμενοι νομιμώτερον αὐτοὺς ἢ νῦν ἐθέλοντας ἂν ἀποκρίνασθαι. τὸ γὰρ ὁμολογηθὲν παρὰ [14] βελτιόνων πε, κυ-

9. Euseb. ὑπὸ τούτων — ἀντὶ οὐσίας.

10. Hesychius: ἄπλετον· πολύ, μέγα —. Euseb. ἄπλητος. Vtraque scriptura vitiata est. Ap. Hesiod. Θεογ. 709 est ὄτοβος ἄπλητος, et v. 315 ἄπλητον κοτέουσα· sed ap. Xenoph. anab. 4 p. 286 Hutchinf. ἄπλετος χιών. Scribitur etiam ἄπλατος· quae scriptura, auctore Moeride, Attica est: ἄπλατον, Ἀττικῶς· ἄπλετον, Ἑλληνικῶς· vbi v. interpp.

11. Euseb. ξυνέσηκεν, recte.

12. Ald. ἡμερώτερο· neglegentia operarum.

13. Ald. Baf. 1. 2 χαλεπότερον. male.

14. Ita ex Ald. Baf. 2 rescripsimus pro περί· quae falsa lectio in exemplo Stephaniano extitit, vt in Baf. 1, e nota, quae est in libro Aldino, male intellecta. Recte expressa est in Baf. 2: sed editores Platonis Francofurtenses cum Stephano perperam retinuerunt περί. Sequitur enim τὸ παρὰ χηρόνων. Caeterum ex iis, quae diximus de notis

κυριώτερον ἢ τὸ παρὰ χειρόνων. ἡμεῖς δὲ ȣ̓ τȣ́των φροντίζομεν, ἀλλὰ τἀληθὲς ζητȣ̃μεν. ΘΕΑΙ. Ὀρθότατα. ΞΕ. Κέλευε δὴ τȣ̀ς βελτίȣς γεγονότας 34
ἀποκρίνασθαί σοι, καὶ τὸ λεχθὲν παρ' ἀυτῶν ἐφερμήνευε. ΘΕΑΙ. Ταῦτ' ἔσται. ΞΕ. Λεγόντων δὴ, θνητὸν ζῶον εἶ φασὶν εἶναί τι. ΘΕΑΙ. Πῶς δ' ȣ̓́; ΞΕ. Τȣ̃το δὲ ȣ̓ σῶμα ἔμψυχον ὁμολογȣ̃σι; ΘΕΑΙ. Πάνυ γε. ΞΕ. Τιθέντες τὶ τῶν ὄντων ψυχήν. ΘΕΑΙ. Ναί. ΞΕ. Τί δαί;[1] ψυχὴν, ȣ̓ τὴν μὲν, δικαίαν, τὴν δὲ, ἄδικον φασὶν εἶναι; καὶ τὴν μὲν, φρόνιμον, τὴν δὲ, ἄφρονα; ΘΕΑΙ. Τί μήν;[2] ΞΕ. Ἀλλ' ȣ̓ δικαιοσύνης ἕξει καὶ παρȣσίᾳ τοιαύτην ἀυτῶν ἑκάστην γίγνεσθαι, καὶ τῶν ἐναντίων, ἐναντίαν. ΘΕΑΙ. Ναὶ καὶ ταῦτα ξύμφασιν. ΞΕ. Ἀλλὰ μὴν τό γε δυνατόν τῳ[3] παραγίγνεσθαι καὶ ἀπογίγνεσθαι, πάντως εἶναί τι φήσȣσι. ΘΕΑΙ. Φασὶ μὲν ȣ̃ν. ΞΕ. Οὔσης ȣ̃ν δικαιοσύνης καὶ φρονήσεως, καὶ τῆς ἄλλης ἀρετῆς, καὶ τῶν ἐναντίων, καὶ δὴ καὶ ψυχῆς, ἐν ᾗ ταῦτα ἐγγίγνεται, πότερον ὁρατὸν καὶ ἁπτὸν εἶναι φασί τι ἀυτῶν, ἢ πάντα ἀόρατα; ΘΕΑΙ. Σχεδὸν ȣ̓δὲν τȣ́των γε ὁρατόν. ΞΕ. Τί δέ; τῶν τοιȣ́των μῶν σῶμά τι λέγȣσιν ἴσχειν; ΘΕΑΙ. Τȣ̃το ȣ̓κέτι κατὰ ταῦτα ἀποκρίνονται πᾶν· ἀλλὰ τὴν μὲν ψυχὴν ἀυτὴν δοκεῖν σφίσι σῶμά τι κεκτῆσθαι· φρόνησιν δὲ καὶ τῶν ἄλλων ἕκαστον ὧν ἠρώτηκας,

tis harum Praepositionum, apparet caussa, cur librarii eas saepissime permutauerint inter se. Vid. Animaduerss. ad Vueller, p. 381.

1. Bas. 1. 2 δέ. At Stephanus recte retinuit scripturam libri Aldini, quae est scriptura vetus Attica. vid. Hemsterhusius ad Aristoph. Plut. 906 et nos ad Criton. 10 not. 11. Infra s. 35 et s. 50 et Polit. s. 29 est in omnibus libris.

2. Timaeus: τί μήν; κατάφασιν δηλοῖ, ἀντὶ τȣ̃ πῶς γὰρ ȣ̓́; ἢ διὰ τί γὰρ ȣ̓́;

3. Ald. Bas. 1. 2 δυνατὸν τῷ, solenni errore.

καις, αἰσχύνονται τὸ τόλμᾶν ἢ μηδὲν τῶν ὄντων αὐτὰ ὁμολογεῖν, ἢ πάντ' εἶναι σώματα διϊσχυρίζεσθαι. ΞΕ. Σαφῶς γὰρ ἡμῖν, ὦ Θεαίτητε, βελτίους γεγόνασιν οἱ ἄνδρες. ἐπεὶ τάτων ἐδ' ἂν ἓν ἐπαισχυνθεῖεν εἴ γε αὐτῶν σπαρτοί τε καὶ αὐτόχθονες, ἀλλὰ διατείνοιντ' ἄν, πᾶν ὃ μὴ δυνατοὶ ταῖς χερσὶ συμπιέζειν εἰσίν, ὡς ἄρα τᾶτο ἐδὲν τοπαράπαν ἐσί. ΘΕΑΙ. Σχεδὸν οἷα διανοῆνται λέγεις. ΞΕ. Πάλιν τοίνυν ἀνερωτῶμεν αὐτές. εἰ γάρ τι καὶ σμικρὸν ἐθέλοισι τῶν ὄντων συγχωρεῖν ἀσώματον, ἐξαρκεῖ. τὸ γὰρ ἐπί τε τάτοις ἅμα καὶ ἐπ ἐκείνοις ὅσα ἔχει σῶμα ξυμφυὲς [4] γεγονὸς, εἰς ὃ βλέποντες ἀμφότερα εἶναι λέγεσι, τᾶτο αὐτοῖς ῥητέον. ΘΕΑΙ. Τάχ' ἂν ἴσως [5] ἂν ἀπορῆσεν [6] εἰ δή τι τοιᾶτον πεπόνθασι. ΞΕ. Σκόπει προτεινομένων ἡμῶν, ἆρ' ἐθέλοιεν ἂν δέχεσθαι καὶ ὁμολογεῖν τοιόνδ' εἶναι τὸ ὄν. ΘΕΑΙ. Τὸ ποῖον δή; λέγε, καὶ τάχα εἰσόμεθα. ΞΕ. Λέγω δὴ τὸ καὶ ὁποιανῶν τινὰ κεκτημένον δύναμιν εἴ τε εἰς τὸ ποιεῖν [7] ἕτερον ὁτιῶν πεφυκὸς, εἴτε εἰς τὸ παθεῖν καὶ

4. Ald. Baſ. 1 ξυμφιές.

5. Ald. Baſ. 1 ἴσος. In Ald. et Steph., atque adeo Francof., verba τάχ' ἄν — εἶναι τὸ ὄν tribuuntur Hoſpiti: ſed nos, Cornarii admonitu, reſtituimus nomina perſonarum e Baſ. 1. 2, etiam Ficini Verſione, ita, vt reſtitui illa ipſius diſputationis ſeriem iubere videbamus.

6. Ald. Baſ. 1. 2 ἀπορᾶεν. vitioſe.

7. Ald. ἕ τις τὸ ποιᾶν. Baſ. 1. 2 ἕ τε τὸ ποιᾶν. At iam Cornarius reponendum vidit ἅτε εἰς τὸ ποιᾶν· quem Stephanus hic quoque recte ſequutus eſt. nam et Ficinus vertit, *vel ad aliud agendum*, et ſequitur εἰς τὸ παθᾶν. Malim tamen ego vtroque loco legere ἅτ' εἰς — ἅτ' εἰς. huc enim nos ducit, cum ſcriptura libri Aldini, tum Baſ. 2, in quo eſt diſerte ſcriptum ἅτ' εἰς τὸ παθᾶν. Etiam origo lectionis ἕ τις τὸ ποιᾶν ſic magis reperiri poteſt.

καὶ σμικρότατον ὑπὸ τῆ Φαυλοτάτῃ καὶν ἐμένον εἰσάπαξ. πᾶν τοῦτο ὄντως εἶναι. τίθεμαι γὰρ ὅρον ὁρίζειν τὰ ὄντα, ὡς ἔστιν [8] ἢ ἄλλό τι [9] πλὴν δύναμις. ΘΕΑΙ. Ἀλλ' ἐπείπερ αὐτοί γε οὐκ ἔχεσιν ἐν τῷ παρόντι τότε βέλτιον λέγειν, δέχονται τοῦτο. ΞΕ. Καλῶς. ἴσως γὰρ εἰσύστερον ἡμῖν τε καὶ τούτοις ἕτερον ἂν φανείη. πρὸς μὲν δὴ τούτους [10] τοῦτο ἡμῖν ἐνταῦθα μενέτω ξυνομολογηθέν. ΘΕΑΙ. Μένει. [11] ΞΕ. Πρὸς δὲ τοὺς ἑτέρους ἴωμεν, τοὺς τῶν εἰδῶν φίλους. σὺ δ' ἡμῖν καὶ τὰ παρὰ τούτων ἐφερμήνευε. [1] ΘΕΑΙ. Ταῦτ' ἔσται. ΞΕ. Τὴν μὲν δὴ γένεσιν, [2] τὴν δὲ οὐσίαν, χωρίς πῃ διελόμενοι, λέγετε; ἢ γάρ; ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ σώματι μὲν ἡμᾶς γενέσει δι' αἰσθήσεως κοινωνεῖν, διὰ λογισμοῦ δὲ, ψυχῇ, πρὸς τὴν ὄντως [3] οὐσίαν· ἣν ἀεὶ κατὰ ταυτὰ ὡσαύτως ἔχειν φατὲ, γένεσιν δὲ ἄλλοτε ἄλλως. ΘΕΑΙ. Φαμὲν γὰρ δή. ΞΕ. Τὸ δὲ δὴ κοινωνεῖν, ὦ πάντων

8. Marg. Steph. γρ. ὃ ἔστιν· quae erat coniectura Cornarii non necessaria.

9. Ald. ἄλλοτι. Inde in Basil. 1. 2 factum est ἄλλο τί. Caeterum in eodem libro Aldino verba Ἀλλ' ἐπείπερ — τοῦτο tribuuntur Hospiti; Theaeteto τὸ καλῶς· verba ἴσως γὰρ κ. λ. Hospiti: Theaeteto verba Μένει· πρὸς δὲ — ἐφερμήνευε· Hospiti verba Ταῦτ' ἔσται. τὴν μὲν — ἢ γάρ; Nos vero ordinem personarum cum Stephano restituimus e Basil. 1. 2 et Versione Ficini.

10. Ald. Basil. 1. 2 τούτοις, male.

11. Stephanus coni. μενεῖ. non male.

1. Ald. Basil. 1. 2 ἀφερμήνευε. male. nam etiam supra f. 34 sic legebatur ἐφερμήνευε· etsi non ignoramus, Atticos scriptores, in his Xenophontem maxime, solere uti etiam altero genere verborum compositorum pro verbis simplicibus.

2. Ald. Basil. 1. 2 γένεσιν, omissis verbis τὴν μὲν ἕν, quae Stephanus recte addidit, Cornarii auctoritate. Sed post λέγετε poni debet haud dubie puncti nota.

3. Francof. ὄντων, mendose.

τῶν [4] ἄριστοι, τί τοῦθ' ὑμᾶς [5] ἐπ' ἀμφοῖν φῶμεν λέγειν; ἆρ' ὃ τὸ νῦν δὴ παρ' ἡμῶν ἐρρήθη; ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Πάθημα ἢ ποίημα ἐκ δυνάμεώς τινος ἀπὸ τῶν πρὸς ἄλληλα ξυνιόντων γιγνόμενον. τάχ' ἄν, ὦ Θεαίτητε, αὐτῶν τὴν πρὸς ταῦτα ἀπόκρισιν σὺ μὲν ἃ κατακάεις, ἐγὼ δὲ ἴσως, διὰ συνήθειαν. ΘΕΑΙ. Τίν' ἦν δὴ λέγεσι λόγον; ΞΕ. Οὐ συγχωροῦσιν ἡμῖν τὸ νῦν δὴ ῥηθὲν πρὸς τὰς γηγενεῖς ἰδέας πέρι. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ἱκανὸν ἔθεμεν ὅρον πᾶ τῶν ὄντων, ὅταν τῷ παρῇ ἡ τὸ πάσχειν ἢ δρᾶν, καὶ πρὸς τὸ σμικρότατον, δύναμις; ΘΕΑΙ. Ναί. ΞΕ. Πρὸς δὴ ταῦτα τόδε λέγεσιν· ὅτι γενέσει μὲν, μέτεσι τοῦ πάσχειν καὶ ποιεῖν δυνάμεως· πρὸς δὲ ἰδέαν, τούτων ἑδετέρᾳ τὴν δύναμιν ἁρμόττειν φασί. ΘΕΑΙ. Οὐκοῦν λέγουσί τι. ΞΕ. Πρὸς ὃ γε λεκτέον ἡμῖν ὅτι δεόμεθα παρ' αὐτῶν ἔτι σαφέστερον, εἰ προσομολογοῦσι τὴν μὲν ψυχὴν γινώσκειν, τὴν δ' ἰδέαν γινώσκεσθαι. ΘΕΑΙ. Φασὶ μὴν τοῦτό γε. ΞΕ. Τί δέ; τὸ γιγνώσκειν, [6] ἢ τὸ γιγνώσκεσθαι, φατὲ ποίημα, ἢ πάθος, ἢ ἀμφότερον; ἢ τὸ μὲν, πάθημα, τὸ δὲ, θάτερον; [7] ἢ παντάπασιν ἑδέ-

4. Ald. τάντων.

5. Ald. Baf. 1. 2 ἡμᾶς. male.

6. Ald. Baf. 1. 2 γινώσκειν. At altera ſcriptura Attica eſt: quam, conſtantiae cauſſa, reponi oportebat vbique. v. Valquenarius ad Eurip. Phoeniſſ. 1396.

7. Verba ἢ τὸ μὲν — θάτερον omiſſa ſunt in Baſ. 2, fortaſſis operarum negligentia, aut potius librariorum, quum praecedat ἀμφότερον. Certe Ficinus quoque ea in ſuis Codicibus inuenerat. nam Verſio eius Latina, ab Grynaeo nondum mutata, habet, *aut aliud quidem pati, aliud autem agere.* Vnde Stephanus in margg. exempli fui non debebat ponere haec, *Quae* [ſcilicet verba ἢ τὸ μὲν — θάτερον] *licet nec Ficinus agnouerit, et in quibuſdam vett. libris* [hoc eſt in Baſ. 2] *non extent, conuenire*

ἑδέτερον ἑδετέρᾳ τέτων μεταλαμβάνειν; δῆλον ὡς ἑδέτερον ἑδετέρᾳ. τἀναντία γὰρ ἂν τοῖς ἔμπροσθεν λέγοιεν. ΘΕΑΙ. Μανθάνω τόδέ γε. ΞΕ. Ὡς τὸ γιγνώσκειν εἴπερ ἔσαι ποιεῖν τι,[8] τὸ γιγνωσκόμενον ἀναγκαῖον αὖ ξυμβαίνει πάσχειν. τὴν ἐσίαν δὴ κατὰ τὸν λόγον τῦτον γιγνωσκομένην ὑπὸ τῆς γνώσεως, καθόσον γιγνώσκεται, κατὰ τοσῦτον κινεῖσθαι, διὰ τὸ πάσχειν. ὃ δὴ Φαμὲν ἐκ ἂν γενέσθαι περὶ τὸ ἠρεμοῦν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Τί δαί, πρὸς Διός; ὡς ἀληθῶς κίνησιν καὶ ζωὴν, καὶ ψυχὴν, καὶ Φρόνησιν, ἢ ῥᾳδίως πεισθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι; μηδὲ[9] ζῆν αὐτὸ, μηδὲ Φρονεῖν, ἀλλὰ σεμνὸν καὶ ἅγιον νῦν ἐκ ἔχον ἀκίνητον, ἑστὼς εἶναι; ΘΕΑΙ. Δεινὸν μέντ' ἂν, ὦ ξένε, λόγον συγχωροῖμεν. ΞΕ. Ἀλλὰ νῦν μὲν ἔχειν, ζωὴν δὲ μὴ Φῶμεν; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Ἀλλὰ ταῦτα μὲν ἀμΦότερα ἐνόντ' αὐτῷ λέγομεν, ἐ μὴν ἐν ψυχῇ γε Φήσομεν αὐτὸ ἔχειν αὐτά; ΘΕΑΙ. Καὶ τίν' ἂν ἕτερον ἔχοι τρόπον; ΞΕ. Ἀλλὰ δῆτα νῦν μὲν καὶ ζωὴν καὶ ψυχὴν, ἀκίνητον μέντοι τοπαράπαν, ἔμψυχον ὂν ἑσάναι.[10] ΘΕΑΙ. Πάντα ἔμοιγε ἄλογα ταῦτ' εἶναι Φαίνεται. ΞΕ. Καὶ τὸ κινέμενον δὴ καὶ κίνησιν συγχωρητέον ὡς ὄντα. ΘΕΑΙ. Πῶς δ' ἔ; ΞΕ. Ξυμβαίνει δ' ἦν, ὦ Θεαίτητε, ἀκινήτων τε ὄντων, νῦν μηδενὶ περὶ μηδενὸς εἶναι μηδαμῦ. ΘΕΑΙ. Κομιδῇ μὲν ἦν. ΞΕ. Καὶ μὴν, ἐὰν αὖ Φερόμενα καὶ κινέμενα πάντ' εἶναι συγχωρῶμεν, καὶ τάτῳ τῷ λόγῳ

venire videntur. Serranus verba ἢ τὸ μὲν πάθημα, τὸ δὲ ἕτερον omisit in sua Versione.

8. Ald. Bas. 1 τίς. male. In eodem libro Aldino verba ὡς τὸ γιγνώσκειν — πάσχειν tribuuntur Theaeteto, et Hospiti verba τὴν ἐσίαν δὴ — ἠρεμοῦν. male.

9. Ald. Bas. 1. 2 μὴ δὲ, bis.

10. Ald. Bas. 1, 2 ἑσάναι.

λόγῳ ταυτὸν τȣ̃το ἐκ τῶν ὄντων ἐξαιρήσομεν. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ κατὰ ταυτὰ καὶ ὡσαύτως καὶ περὶ τὸ ἀυτὸ, δοκεῖ σοι χωρὶς ςάσεως γενέσθαι ποτ' ἄν; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Τί δ' ἄνευ τȣ́των νȣ̃ν καθορᾷς ὄντα, ἢ γενόμενον ἂν καὶ ὁπȣȣ̃ν; ΘΕΑΙ. Ἥκιςα. ΞΕ. Καὶ μὴν [11] πρός γε τȣ̃τον παντὶ λόγῳ μαχητέον, ὃς ἂν ἐπιςήμην ἢ φρόνησιν ἢ νȣ̃ν ἀφανίζων, ἰσχυρίζηται περί τινος ὁπηȣ̃ν. ΘΕΑΙ. Σφόδρα γε ΞΕ. Τῷ δὴ φιλοσόφῳ καὶ ταῦτα μάλιςα τιμῶντι, πᾶσα, ὡς ἔοικεν, ἀνάγκη διὰ ταῦτα, [12] μήτε τῶν ἓν ἢ καὶ τὰ πολλὰ εἴδη λεγόντων τὸ πᾶν ἑςηκὸς ἀποδέχεσθαι, τῶν δὲ αὖ πανταχῇ τὸ ὂν κινȣ́ντων, μηδὲ τοπαράπαν ἀκȣ́ειν· ἀλλὰ, κατὰ τὴν τῶν παίδων ἐυχὴν, ὅσα ἀκίνητα καὶ κεκινημένα, τὸ ὄν τε καὶ τὸ πᾶν, ξυναμφότερα λέγειν. ΘΕΑΙ.
36 Ἀληθέςατα. ΞΕ. Τί δὴ ȣ̃ν; ἆρ' ȣ̓κ ἐπιεικῶς ἤδη [1] φαινόμεθα περιειληφέναι τῷ λόγῳ τὸ ὄν; ΘΕΑΙ. Πάνυ μὲν ȣ̃ν. ΞΕ. Βαβαὶ [2] μέντ' ἂν ἄρα, ὦ Θεαίτητε, ὥς μοι δοκȣ̃μεν νῦν ἀυτȣ̃ γνώσεσθαι πέρι τὴν ἀπορίαν τῆς σκέψεως. ΘΕΑΙ. Πῶς αὖ καὶ τί τȣ̃τ' εἴρη-

11. Ald. τὴν —.

12. Ald. Baſ. 1. 2 διαταῦτα.

1. Ald. εἴδη. mendoſe.

2. Stephano videbantur poſt particulam βαβαὶ deeſſe aliqua, aut certe legendum βαβαὶ ὥς μοι δοκȣ̃μεν, ſublatis verbis μέντ' ἂν ἄρα. Nobis vero neutra ratio placebat: immo omnia integra putabamus, modo μέντ' acciperetur pro μέντοι. Et videtur Stephanum, vt ita ſtatueret, induxiſſe Verſio Ficini Latina, in qua eſt, *Papae, o Theaetete, quanta nunc in ambiguitate verſamur! nihil enim aliud nunc, praeter difficultatem conſiderandi, noſſe mihi videmur.* At ſolet Ficinus etiam aliis locis hanc ſequi rationem, vt obſcuritatem orationis tollat verbis quibuſdam adiiciendis, quae ipſe non repererit in ſuis Codicibus. Collect. verbb. Grr. ap. Montefalconium Catal. bibl. Coiſl. p. 470 Βαβαὶ· θαυμαςικὴ φωνή.

εἴρηκας; ΞΕ. Ὦ μακάριε, ἂν ἐννοῇς ὅτι νῦν ἐσμὲν ἐν ἀγνοίᾳ τῇ πλείστῃ περὶ αὐτῶ, φαινόμεθα δέ τι λέγειν ἡμῖν αὐτοῖς; ΘΕΑΙ. Ἔμοι γ' ἔν· ὅπη δ' αὖ λελήθαμεν ἔτως [3] ἔχοντες, ἀ πάνυ ξυνίημι. ΞΕ. Σκόπει δὴ σαφέστερον, εἰ ταῦτα νῦν ξυνομολογοῦντες δικαίως ἂν ἐπερωτηθείημεν ἅπερ αὐτοὶ τότε ἠρωτῶμεν τοὺς λέγοντας εἶναι τὸ πᾶν θερμὸν καὶ ψυχρόν. ΘΕΑΙ. Ποῖα ὑπόμνησόν με. ΞΕ. Πάνυ μὲν ἔν· καὶ πειράσομαί γε δρᾶν τοῦτο ἐρωτῶν σε, καθάπερ ἐκείνους [4] τότε, ἵνα ἅμα τι καὶ προΐωμεν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. [5] Εἶεν δὴ, κίνησιν καὶ στάσιν ἆρ' οὐκ ἐναντιώτατα λέγεις ἀλλήλοις; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Καὶ μὴν εἶναί γε ὁμοίως φῂς ἀμφότερα αὐτὰ [6] καὶ ἑκάτερον. ΘΕΑΙ. Φημὶ γὰρ ἔν. ΞΕ. Ἆρα κινεῖσθαι λέγων ἀμφότερα καὶ ἑκάτερον, ὅταν εἶναι συγχωρῇς; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Ἀλλ' ἑστάναι σημαίνεις, λέγων αὐτὰ ἀμφότερα εἶναι; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Τρίτον ἄρτι παρὰ ταῦτα τὸ ὂν ἐν τῇ ψυχῇ τιθεὶς, ὡς ὑπ' ἐκείνε τὴν τε στάσιν καὶ τὴν κίνησιν περιεχομένην συλλαβὼν, καὶ ἀπιδὼν αὐτῶν πρὸς τὴν τῆς οὐσίας κοινωνίαν, ἔτως εἶναι προσεῖπας ἀμφότερα. ΘΕΑΙ. Κινδυνεύομεν ὡς ἀληθῶς τρίτον ἀπομαντεύεσθαί τι τὸ ὄν, ὅταν κίνησιν καὶ στάσιν εἶναι λέγωμεν. ΞΕ. Οὐκ ἄρα κίνησις καὶ στάσις ἐστὶ ξυναμφότερον τὸ ὄν, ἀλλ' ἕτερον δή τι τούτων. ΘΕΑΙ. Ἔοικε. ΞΕ. Κατὰ τὴν αὐτῶ [7] Φύσιν ἄρα τὸ ὂν ἔτε ἕστηκεν, ἔτε κινεῖται. ΘΕΑΙ. Σχεδόν. ΞΕ. Ποῖ [8] χρὴ τὴν διάνοιαν ἔτι τρέπειν τὸν βελόμενον

3. Ald. Baſ. 1 ὄντως· quod iam in Baſ. 2 mutatum eſt in ἔτως.

4. Ald. Baſ. 1 ἐκείνοις. vitioſe.

5. Abeſt ab Ald. male.

6. Baſ. 1 ἀμφότερὸ αὐτά. Baſ. 2 ἀμφότερ' αὐτά.

7. Ald. Baſ. 1. 2 αὐτῦ.

8. Baſ. 1. 2 πῆ. male. Sequitur etiam mox ποῖ γάρ;

ἐναργές τι περὶ αὐτῶ παρ' ἑαυτῷ βεβαιώσασθαι; ΘΕΑΙ. Ποῖ γάρ; ΞΕ. Οἶμαι μὲν ἐδαμόσε ἔτι ῥᾴδιον. εἰ γάρ τι μὴ κινεῖται, πῶς οὐχ ἕστηκεν; ἢ τὸ μηδαμῶς ἑστὼς, πῶς οὐκ αὖ κινεῖται; τὸ δὲ ὂν ἡμῖν νῦν ἐκτὸς τούτων ἀμφοτέρων ἀναπέφανται· ἢ δυνατὸν ἦν τοῦτο; ΘΕΑΙ. Πάντων μὲν ἦν ἀδυνατώτατον. ΞΕ. Τόδε, τοίνυν μνησθῆναι δίκαιον ἐπὶ τούτοις. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὅτι τῶ μὴ ὄντος ἐρωτηθέντες τὄνομα ἐφ' ὅ, τι [9] ποτὲ δεῖ φέρειν, πάσῃ συνεχόμεθα ἀπορίᾳ. μέμνησαι; ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Μῶν ἦν ἐν ἐλάττονι τινὶ νῦν ἐσμὲν ἀπορίᾳ περὶ τὸ ὄν; ΘΕΑΙ. Ἐμοὶ μὲν, ὦ ξένε, εἰ δυνατὸν εἰπεῖν, ἐν πλείονι φαινόμεθα. ΞΕ. Τοῦτο μὲν τοίνυν ἐνταῦθα κείσθω διηπορημένον· ἐπειδὴ δὲ ἐξίσα τό, τε ὂν καὶ τὸ μὴ ὂν ἀπορίας μετειλήφατον, νῦν ἐλπὶς ἤδη, καθάπερ ἂν αὐτῶν θάτερον, εἴτε ἀμυδρότερον εἴτε σαφέστερον ἀναφαίνηται, καὶ θάτερον ἅτως ἀναφαίνεσθαι· καὶ ἐὰν αὖ μηδέτερον ἰδεῖν δυνώμεθα, τὸν γοῦν λόγον ὅπηπερ ἂν οἷοί [10] τε ὦμεν ὑπρεπέσατα διωσόμεθα ἅτως ἀμφοῖν ἅμα. ΘΕΑΙ. Καλῶς. ΞΕ. Λέγωμεν δὴ καθ' ὁντινά ποτε τρόπον πολλοῖς ὀνόμασι ταυτὸν τοῦτο ἑκάστοτε προσαγορεύομεν. ΘΕΑΙ. Οἷον δή τι παράδειγμα εἰπέ. ΞΕ.
37 Λέγομεν ἄνθρωπον δήπου πόλλ' ἄττα ἐπονομάζοντες, τά τε χρώματα ἐπιφέροντες αὐτῷ καὶ τὰ σχήματα, καὶ τὰ μεγέθη, καὶ κακίας καὶ ἀρετάς. ἐν οἷς πᾶσι καὶ ἑτέροις μυρίοις οὐ μόνον ἄνθρωπον αὐτὸν εἶναι φαμὲν, ἀλλὰ καὶ ἀγαθὸν, καὶ ἄπειρα, καὶ τἆλλα δὴ κατὰ τὸν αὐτὸν λόγον. ἅτως ἓν ἕκαστον ὑποθέμενοι, πάλιν αὖτε πολλὰ καὶ πολλοῖς ὀνόμασι λέγομεν. ΘΕΑΙ. Ἀληθῆ λέγεις. ΞΕ. Ὅθεν γε, οἶμαι. τοῖς τε νέοις καὶ τῶν γερόντων τοῖς ὀψιμαθέσι θοίνην παρεσκευάκαμεν. εὐθὺς γὰρ ἀντιλαβέ-

9. Ald. Bas. 1. 2 ὅτι. 10. Ald. οἷόν.

λαβέσθαι παντὶ πρόχειρον, ὡς ἀδύνατον τά τε πολλὰ ἓν, καὶ τὸ ἓν πολλὰ εἶναι. καὶ δήπου χαίρουσιν, ἐκ ἐώντες ἀγαθὸν λέγειν ἄνθρωπον· ἀλλὰ τὸ μὲν ἀγαθὸν, ἀγαθόν, τὸν δὲ ἄνθρωπον, ἄνθρωπον. ἐντυγχάνεις γάρ, ὦ Θεαίτητε, ὡς ἐγῷμαι, πολλάκις τὰ τοιαῦτα ἐσπεδακόσιν, ἐνίοτε πρεσβυτέροις ἀνθρώποις, καὶ ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσεως τὰ τοιαῦτα τεθαυμακόσι, καὶ δή τι καὶ πάνσοφον οἰομένοις τοῦτο αὐτὸ ἀνευρηκέναι. [2] ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Ἵνα τοίνυν πρὸς ἅπαντας ἡμῖν ὁ λόγος ᾖ τοὺς πώποτε περὶ οὐσίας καὶ ὁτιοῦν διαλεχθέντας, ἔσω καὶ πρὸς τούτους καὶ πρὸς τοὺς ἄλλους, ὅσοις ἔμπροσθεν διειλέγμεθα, τὰ νῦν ὡς ἐν ἐρωτήσει λεχθησόμενα. ΘΕΑΙ. Τὰ ποῖα δή; ΞΕ. Πότερον μήτε τὴν οὐσίαν κινήσει καὶ στάσει προσάπτωμεν, μήτε ἄλλο ἄλλῳ μηδὲν μηδενὶ, ἀλλ' ὡς ἄμικτα ὄντα καὶ ἀδύνατα μεταλαμβάνειν ἀλλήλων, ἔτως αὐτὰ ἐν τοῖς παρ' ἡμῖν λόγοις τιθῶμεν; ἢ πάντα εἰς ταυτὸν ξυνάγωμεν, ὡς δυνατὰ ἐπικοινωνεῖν ἀλλήλοις; ἢ τὰ μὲν, τὰ δὲ μή; τούτων, ὦ Θεαίτητε, τί ποτ' ἂν προαιρεῖσθαι τούτους φήσαιμεν; ΘΕΑΙ. Ἐγὼ μὲν ὑπὲρ αὐτῶν οὐδὲν ἔχω πρὸς ταῦτα ἀποκρίνασθαι. τί ἦν ὁ καθ' ἓν, ἀποκρινόμενον, [3] ἐφ' ἑκάστῳ τὰ ξυμβαίνοντα ἐσκέψω; ΞΕ. Καλῶς λέγεις· καὶ τιθῶμέν γε αὐτοὺς λέγειν, εἰ βούλει, πρῶτον, μηδενὶ μηδὲν μηδεμίαν δύναμιν ἔχειν κοινωνίας εἰς μηδέν· ἐκεῖνο κίνησίς τε καὶ στάσις οὐδαμῆ μεθέξετον οὐσίας; ΘΕΑΙ. Οὐ γὰρ ἦν. ΞΕ. Τί δέ; ἔστι πότερον αὐτῶν οὐσίας μὴ προσκοινωνεῖν; ΘΕΑΙ. Οὐκ ἔστι. ΞΕ. Ταχὺ δὴ τάυτῃ γε τῇ συνομολογίᾳ πάντα ἀνάσατα γέγονεν, ὡς ἔοικεν, ἅμα τε τῶν τὸ πᾶν κινόντων, καὶ τῶν ὡς ἓν ἱστάντων, καὶ ὅσοι κατ' εἴδη τὰ ὄντα,

1. Ald. λέγει. mendose.
2. Bas. 2 ἀνευροκέναι.
3. Stephanus legendum putabat ἀποκρινόμενος. verissime.

κατὰ ταυτὰ ὡσαύτως ἔχοντα εἶναί φασιν ἀεί. πάντες γὰρ ἤτοι τό γε εἶναι προσάπτουσιν, οἱ μὲν, ὄντως κινεῖσθαι λέγοντες, οἱ δὲ, ὄντως ἑστηκότα εἶναι. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Καὶ μὴν καὶ ὅσοι τοτὲ μὲν συντιθέασι τὰ πάντα, τοτὲ δὲ διαιροῦσιν, εἴτε εἰς ἓν καὶ ἐξ ἑνὸς ἄπειρα, εἴτε εἰς πέρας ἔχοντα στοιχεῖα διαιρούμενοι, καὶ ἐκ τούτων συντιθέντες, ὁμοίως μὲν, ἐὰν ἐν μέρει τοῦτο τιθῶσι γιγνόμενον, ὁμοίως δὲ καὶ ἐὰν ἀεὶ, κατὰ πάντα ταῦτα, λέγοιεν ἂν ὀρθῶς, εἴπερ μηδεμία ἐστὶ ξύμμιξις. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Ἔτι τοίνυν ἂν αὐτοὶ πάντων καταγελαστότατα μετοίσομεν [4] τὸν λόγον, οἱ μηδὲν ἐῶντες κοινωνίᾳ παθήματος ἑτέρᾳ θάτερον προσαγορεύειν. ΘΕΑΙ. Πῶς; ΞΕ. Τῷ τε εἶναί πᾳ περὶ πάντα ἀναγκάζονται χρῆσθαι, καὶ τῷ χωρὶς, καὶ τῷ ἄλλων, καὶ τῷ καθ' αὑτὸ καὶ μυρίοις ἑτέροις· ὧν ἀκρατεῖς ὄντες εἴργεσθαι, καὶ μὴ συνάπτειν ἐν τοῖς λόγοις, ἐκ ἄλλων δέονται τῶν ἐξελεγχόντων· ἀλλὰ, τὸ λεγόμενον, οἴκοθεν τὸν πολέμιον καὶ ἐναντιωσόμενον ἔχοντες, ἐντὸς ὑποφθεγγόμενοι, ὥσπερ τὸν ἄτοπον Εὐρυκλέα, [5] περιφέροντες ἀεὶ πορεύονται. ΘΕΑΙ. Κομιδῇ

4. Ita reſcripſimus e Baſ. 2. Stephanus e μετοίημεν, quod eſt in Ald. et Baſ. 1, haud dubie pro μετοίσομεν, aut pro μετήσομεν, male fecit μετάημεν· quod hic quidem ferri nullo modo poteſt.

5. Scholiaſtes Auguſtanus: Εὐρυκλέα· ἐπὶ τῶν ἑαυτοῖς κακὰ μαντευομένων. Εὐρυκλῆς γὰρ ἐδόκει δαίμονά τινα ἐν τῇ γαστρὶ ἔχειν, τὸν ἐγκελευόμενον αὐτῷ περὶ τῶν μελλόντων λέγειν· ὅθεν καὶ γαστρίμυθος ἐκαλεῖτο. ἔτος δὲ προεῖπέν τινί ποτε τὰ μὴ καθ' ἡδονὴν κακῶς ἀπήλλαξεν· ἄτοπον δὲ, τὸν μὴ ἑδραῖον, ἀλλ' ἐκτοπίζοντα λέγειν. Pro προεῖπεν leg. προεπῶν, aut ante κακῶς inſerendum καί. De Eurycle iſto vid. ſchol. Ariſtoph. ad Veſpas p. 347 ſ. Baſil. Ab eo omnis ἐγγαστρίμυθος dictus eſt Εὐρυκλῆς. Suidas: Εὐρυκλῆς· πᾶς ὁ ἐγγαστρίμυθος· ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως. Hinc ap. Apoſtolium Paroemm. 9, 35 legi debet, Εὐρυκλῆς] πᾶς ἐγγα-

Κομιδῇ λέγεις ὅμοιόν τε καὶ ἀληθές. ΞΕ. Τί δ' ἂν πάντα ἀλλήλοις [6] ἐῶμεν δύναμιν ἔχειν ἐπὶ κοινωνίας; [7] τῶτο μὲν οἷός τε κἀγὼ διαλύειν. ΘΕΑΙ. Πῶς; ΞΕ. Ὅτι κίνησίς γε αὕτη παντάπασιν ἴσαμεν ἂν, καὶ σάσις αὖ πάλιν αὕτη κινοῖτο, εἴπερ ἐπιγιγνοίσθην ἐπ' ἀλλήλοιν. ἀλλὰ μὴν τῶτό γέ πῃ ταῖς μεγίσαις ἀνάγκαις ἀδύνατον, κίνησίν τε ἴσασθαι καὶ σάσιν κινεῖσθαι. ΘΕΑΙ. Πῶς γὰρ ἔ; ΞΕ. Τὸ 38
τρίτον δὴ μόνον λοιπόν. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἕν γέ τι τάτων ἀναγκαῖον, ἢ πάντα, ἢ μηδέν· ἢ τὰ μὲν ἐθέλειν, τὰ δὲ μή, συμμίγνυσθαι. [1] ΘΕΑΙ. Πῶς γὰρ ἔ; ΞΕ. Καὶ μὴν τά γε [2] δύο ἀδύνατον ἐυρεθῆναι. ΘΕΑΙ. Ναί. ΞΕ. Πᾶς ἄρα ὁ βελόμενος ὀρθῶς ἀποκρίνεσθαι, τὸ λοιπὸν τῶν τριῶν θήσει. ΘΕΑΙ. Κομιδῇ μὲν ἕν. ΞΕ. Ὅτε δὴ τὰ μὲν ἐθέλει τῶτο δρᾶν, τὰ δ' ἕ, σχεδὸν οἷον τὰ γράμματα πεπονθότ' ἂν εἴη. καὶ γὰρ ἐκείνων τὰ μὲν ἁρμοσεῖ πῃ πρὸς ἄλληλα, τὰ δὲ ξυναρμόττει. ΘΕΑΙ. Πῶς δ' ἔ; ΞΕ. Τὰ δέ γε φωνήεντα, διαφερόντως τῶν ἄλλων, οἷον δεσμὸς, διὰ πάντων κεχώρηκεν, ὥσε ἄνευ τινὸς αὐτῶν ἀδύνατον ἁρμόττειν καὶ τῶν ἄλλων ἕτερον ἑτέρῳ. ΘΕΑΙ. Καὶ μάλα γε.

ἐγγαστρίμυθος· ἀπὸ Εὐρυκλέους τοιόντου τινὸς μάντεως πολυλόγου. Pantinus male edidit, Εὐρυκλῆς πᾶς ἐγγαστρίμυθος] ἀπὸ Εὐρυκλέους κ. λ., et peſſime vertit, *Omnis Eurycles ventriloquus*] *Ab Eurycle quodam etc.*, quaſi ipſum proverbium fuiſſet Εὐρυκλῆς πᾶς ἐγγαστρίμυθος. Idem Suidas in v. ἐγγαστρίμυθος· ἐγγαστρίμαντις, ὃν νῦν τινες πύθωνα· Σοφοκλῆς δὲ τερόμαντιν· Πλάτων δ' φιλόσοφος Εὐρυκλέα· ἀπὸ Εὐρυκλέους τοιούτου μάντεως.

1. In Ald. Baſ. 1. 2 verba ita diſtincta leguntur, τὰ δὲ, μὴ συμμίγνυσθαι· ſed Stephanus recte poſuit inciſi notam poſt μὴ, quia poſt hanc particulam intellegi debet ἐθέλειν, et verbum συμμίγνυσθαι ad vtrumque membrum pertinet.

2. Ald. Baſ. 1. 2 τε male.

ΞΕ. Πᾶς ἦν οἶδεν ὁποῖα ὁποίοις δύναται[3] κοινωνεῖν; ἢ τέχνης δεῖ τῷ μέλλοντι δρᾶν ἱκανῶς αὐτά; ΘΕΑΙ. Τέχνης. ΞΕ. Ποίας; ΘΕΑΙ. Τῆς γραμματικῆς. ΞΕ.[4] Τί δέ; περὶ τὰς τῶν ὀξέων καὶ βαρέων φθόγγας ἆρ' ἐχ ἕτως; ὁ μὲν τὰς συγκερασμένας τε καὶ μὴ τέχνην ἔχων γιγνώσκειν, μουσικός· ὁ δὲ μὴ ξυνιείς, ἄμουσος; ΘΕΑΙ. Οὕτω. ΞΕ. Καὶ κατὰ τῶν ἄλλων δὴ τεχνῶν καὶ ἀτεχνιῶν[5] τοιαῦτα εὑρήσομεν[6] ἕτερα. ΘΕΑΙ. Πῶς δ' ἔ; ΞΕ. Τί δ' ἐπειδὴ καὶ τὰ γένη πρὸς ἄλληλα κατὰ ταυτὰ[7] μίξεως ἔχειν ὡμολογήκαμεν, ἆρ' ἀ μετ' ἐπιστήμης τινὸς ἀναγκαῖον διὰ τῶν λόγων πορεύεσθαι τὸν ὀρθῶς μέλλοντα δείξειν, ποῖα ποίοις συμφωνεῖ τῶν γενῶν, καὶ ποῖα ἄλληλα ἀ δέχεται; καὶ δὴ καὶ διὰ πάντων εἰ συνέχονται ταῦτ' ἐστὶν, ὥστε συμμίγνυσθαι δυνατὰ εἶναι; καὶ πάλιν ἐν ταῖς διαιρέσεσιν, εἰ δι' ὅλων ἕτερα τῆς διαιρέσεως αἴτια; ΘΕΑΙ. Πῶς γὰρ ἂν ἐπιστήμης δεῖ, καὶ σχεδόν γε ἴσως τῆς μεγί-
395 στης; ΞΕ. Τί ἂν αὖ προσερῶμεν, ὦ Θεαίτητε, ταύτην; ἢ πρὸς Διὸς ἐλάθομεν εἰς τὴν τῶν ἐλευθέρων ἐμπεσόντες ἐπιστήμην; καὶ κινδυνεύομεν, ζητοῦντες τὸν σοφιστὴν, πρότερον ἀνευρηκέναι τὸν φιλόσοφον; ΘΕΑΙ. Πῶς λέγεις; ΞΕ. Τὸ κατὰ γένη διαιρεῖσθαι, καὶ μήτε ταυτὸν εἶδος ἕτερον ἡγήσασθαι, μήτε ἕτερον ὂν ταυτὸν, μῶν ἀ τῆς διαλεκτικῆς φήσομεν ἐπιστήμης εἶναι; ΘΕΑΙ. Ναὶ φήσομεν. ΞΕ. Οὐκοῦν ὅ γε τοῦτο δυνατὸς δρᾶν, μίαν[1] ἰδέαν διὰ πολλῶν, ἑνὸς ἑκάστου κειμένου χωρὶς, πάντη διατεταμένην

3. Baſ. 2 ὁποῖα δυνατὰ —.

4. Abeſt nomen ΞΕ. ab Ald.

5. Pollux 4, 9 ἀπειρία δὲ, καὶ ἀτεχνία, καὶ ψευδοδοξία, καὶ δοκησισοφία, Πλάτωνος.

6. Baſ. 2 εὑρίσομεν.

7. Ald. Baſ. 1. 2 κατα ταυτά.

1. Ald. μίαν.

νην ἱκανῶς διαισθάνεται, καὶ πολλὰς ἑτέρας ἀλλήλων, ὑπὸ μιᾶς ἔξωθεν περιεχομένας, καὶ μίαν αὖ δι' ὅλων πολλῶν ἐν ἑνὶ ξυνημμένην· καὶ πολλὰς χωρὶς πάντη διωρισμένας. τοῦτο δ' ἔσιν, ἡ τε [2] κοινωνεῖν ἕκαστα δύναται, καὶ ὅπη μὴ, διακρίνειν κατὰ γένος ἐπίστασθαι. ΘΕΑΙ. Παντάπασι μὲν οὖν. ΞΕ. Ἀλλὰ μὴν τό γε διαλεκτικὸν ἂν ἄλλῳ δώσεις, ὡς ἐγῷμαι, πλὴν τῷ καθαρῶς τε καὶ δικαίως Φιλοσοφοῦντι. ΘΕΑΙ. Πῶς γὰρ ἂν ἄλλῳ δοίη τις; ΞΕ. Τὸν μὲν δὴ Φιλόσοφον ἐν τοιούτῳ τινὶ τόπῳ καὶ νῦν καὶ ἔπειτα ἀνευρήσομεν, ἐὰν ζητῶμεν, ἰδεῖν μὲν χαλεπὸν ἐναργῶς καὶ τοῦτον· ἕτερον μὴν τρόπον ἤ τε τοῦ σοφιστοῦ χαλεπότης, ἥ τε τούτου. ΘΕΑΙ. Πῶς; ΞΕ. Ὁ μὲν ἀποδιδράσκων εἰς τὴν τοῦ μὴ ὄντος σκοτεινότητα, τριβῇ προσαπτόμενος αὐτῆς, διὰ τὸ σκοτεινὸν τοῦ τόπου κατανοῆσαι χαλεπός. ἦ γάρ; ΘΕΑΙ. Ἔοικε. ΞΕ. Ὁ δέ γε Φιλόσοφος, τῇ τοῦ ὄντος ἀεὶ διὰ λογισμῶν προσκείμενος ἰδέᾳ, διὰ τὸ λαμπρὸν αὖ τῆς χώρας, ἀδαμῶς εὐπετὴς ἐφθήναι. τὰ γὰρ τῆς τῶν πολλῶν ψυχῆς ὄμματα, καρτερεῖν πρὸς τὸ θεῖον ἀφορῶντα ἀδύνατα. ΘΕΑΙ. Καὶ ταῦτα εἰκὸς ἦν ἧττον ἐκείνων ἕτως ἔχειν. ΞΕ. Οὐκοῦν περὶ μὲν τούτου τάχα ἐπισκεψόμεθα σαφέστερον, ἂν ἔτι βουλομένοις ἡμῖν ᾖ· περὶ δὲ τοῦ σοφιστοῦ που δῆλον ὡς ἐν ἀνετέον, πρὶν ἂν ἱκανῶς αὐτὸν θεασώμεθα. ΘΕΑΙ. Καλῶς εἶπες. ΞΕ. Ὅτ' οὖν δὴ τὰ μὲν ἡμῖν τῶν γενῶν ὡμολόγηται κοινωνεῖν ἐθέλειν ἀλλήλοις, τὰ δὲ μὴ, καὶ τὰ μὲν, ἐπ' ὀλίγον, τὰ δ' ἐπὶ πολλὰ, τὰ δὲ, καὶ διὰ πάντων, ἀδὲν κωλύει τοῖς πᾶσι κεκοινωνηκέναι. [1] τὸ δὴ μετὰ τοῦτο ξυνεπισπώμεθα τῷ λόγῳ, τῇδε σκοποῦντες, μὴ περὶ πάντων τῶν εἰδῶν, ἵνα μὴ ταραττώμεθα ἐν πολλοῖς· ἀλλὰ προελόμενοι

2. Ald. ἤτε. male.

1. Ald. κεκοινωνημένα. mendose.

τῶν μεγίστων λεγομένων ἄττα, πρῶτον μὲν, ποῖα ἕκαστά ἐστιν, ἔπειτα κοινωνίας ἀλλήλων πῶς ἔχει δυνάμεως· ἵνα τό, τε ὂν καὶ μὴ ἓν, εἰ μὴ πάσῃ σαφηνείᾳ δυνάμεθα λαβεῖν, ἀλλ' ἔν λόγῳ γε ἐνδεεῖς μηδὲν γιγνώμεθα περὶ αὐτῶν, καθόσον ὁ τρόπος ἐνδέχεται τῆς νῦν σκέψεως, ἐὰν ἄρα ἡμῖν πη παρεικασθῇ τὸ μὴ ὂν, λέγωσιν ὡς ἔστιν ὄντως μὴ ὄν, ἀθῴοις ἀπαλλάττειν. ΘΕΑΙ. Οὐκοῦν χρή. ΞΕ. Μέγιστα μὴν τῶν γενῶν, ἃ νῦν δὴ διήειμεν, τό τε ὂν αὐτὸ, καὶ στάσις καὶ κίνησις. ΘΕΑΙ. Πολύ γε. ΞΕ. Καὶ μὴν τώ γε δύο φαμὲν αὐτοῖν ἀμίκτω πρὸς ἀλλήλω. ΘΕΑΙ. Σφόδρα γε. ΞΕ. Τὸ δέ γε ὂν, μικτὸν ἀμφοῖν, ἐσὸν γὰρ ἄμφω πᾶ. ΘΕΑΙ. Πῶς δ' ἔ; ΞΕ. Τρία δὴ γίγνεται ταῦτα. ΘΕΑΙ. Τί μήν; ΞΕ. Οὐκοῦν αὐτῶν ἕκασον τοῖν μὲν δυοῖν ἕτερόν ἐστιν, αὐτὸ δὲ ἑαυτῷ ταυτόν. ΘΕΑΙ. Οὕτω. ΞΕ. Τί ποτ' αὖ νῦν ἔτως εἰρήκαμεν τό, τε ταυτὸν καὶ θάτερον; πότερα δύο γένη τινὲ αὐτᾶ, τῶν μὲν τριῶν ἄλλω, ξυμμιγνυμένω μὴν ἐκείνοις ἐξ ἀνάγκης ἀεὶ· καὶ περὶ πέντε, ἀλλ' ὲ περὶ τριῶν ὡς ὄντων αὐτῶν σκεπτέον, ἢ τό, τε [2] ταυτὸν τᾶτο καὶ θάτερον ἐκείνων [3] τί προσαγορεύοντες λανθάνομεν ἡμᾶς αὐτές; ΘΕΑΙ. [4] Ἴσως. ΞΕ. Ἀλλ' ἔτι μὴν κίνησίς γε καὶ στάσις, ἕθ' ἕτερον ἅτε ταυτόν ἐσι. ΘΕΑΙ. Πῶς; ΞΕ. [5] Ὅ, τι [6] περ ἂν κοινῇ προσείπωμεν κίνησιν καὶ στάσιν, τᾶτο ἑδέτερον αὐτοῖν οἷόν τε εἶναι. ΘΕΑΙ. Τί δή; ΞΕ. Κίνησίς τε στήσεται, καὶ στάσις αὖ κινηθήσεται. περὶ γὰρ ἀμφότερα θάτερον ὁποτερονδὲν γιγνόμενον αὐτοῖν ἀναγκάσει μεταβάλλειν αὖ θάτερον ἐπὶ τἀναντίον τῆς αὐτᾶ [7] φύσεως, ἅτε μετασχὸν τᾶ

2. Ald. Baf. 1. 2 τάτε.
3. Ald. Baf. 1. 2 θάτερον, ὡς ἐκείνων.
4. Ald. ὅτι.
5. Ald. Baf. 1. 2 προσείπομεν.
6. Ald. Baf. 1. 2 αὐτᾶ.

τᾷ ἐναντίᾳ. ΘΕΑΙ. Κομιδῇ γε. ΞΕ. Μετέχετον μὴν ἄμφω ταυτᾷ καὶ θατέρᾳ. ΘΕΑΙ. Ναί. ΞΕ. Μὴ τοίνυν λέγωμεν κίνησίν γ' εἶναι ταυτὸν ἢ θάτερον, μηδ' αὖ σάσιν. ΘΕΑΙ. Μὴ γάρ. ΞΕ. Ἀλλ' ἆρα τὸ ὂν καὶ τὸ ταυτὸν ὡς ἕν τι διανοητέον ἡμῖν. ΘΕΑΙ. Ἴσως. ΞΕ. Ἀλλ' εἰ τὸ ὂν καὶ τὸ ταυτὸν μηδὲν διάφορον σημαίνετον, κίνησιν αὖ πάλιν καὶ σάσιν ἀμφότερα εἶναι λέγοντες, ἀμφότερα ἅττως αὐτὰ ταυτὸν, ὡς ὄντα προσερᾶμεν. ΘΕΑΙ. Ἀλλὰ μὴν τᾶτό γε ἀδύνατον. ΞΕ. Ἀδύνατον ἄρα ταυτὸν καὶ τὸ ὂν ἓν εἶναι. ΘΕΑΙ. Σχεδόν. ΞΕ. Τέταρτον δὴ πρὸς τοῖς τρισὶν εἴδεσιν εἶδος τὸ ταυτὸν τιθῶμεν. ΘΕΑΙ. Πάνυ μὲν ἕν. ΞΕ. Τί δέ; τὸ θάτερον ἆρα ἡμῖν [7] λεκτέον πέμπτον; ἢ τᾶτο καὶ τὸ ὂν, ὡς δύο ἅττα ὀνόματα ἐφ' ἑνὶ γένει διανοεῖσθαι δεῖ; ΘΕΑΙ. Τάχ' ἄν. ΞΕ. Ἀλλ' οἶμαί σε συγχωρεῖν, τῶν ὄντων τὰ μὲν, αὐτὰ καθ' αὑτὰ, τὰ δὲ, πρὸς ἄλλα ἀεὶ λέγεσθαι ΘΕΑΙ. Τί δ' οὔ; ΞΕ. Τὸ δ' ἕτερον ἀεὶ πρὸς ἕτερον. ἦ γάρ; ΘΕΑΙ. Οὕτω. ΞΕ. Οὐκ ἂν, εἴ γε τὸ ὂν καὶ τὸ θάτερον μὴ πάμπολυ διεφερέτην· ἀλλ' εἴπερ θάτερον ἀμφοῖν μετεῖχε τοῖν εἰδοῖν, ὥσπερ τὸ ὄν, ἦν ἂν ποτέ τι καὶ τῶν ἑτέρων ἕτερον ἐ πρὸς ἕτερον. νῦν δὲ ἀτεχνῶς ἡμῖν ὅ, τι [8] περ ἂν ἕτερον ᾖ, συμβέβηκεν ἐξ ἀνάγκης πρὸς ἕτερον τᾶτο αὐτὸ ὅπερ ἐστὶν, εἶναι. ΘΕΑΙ. Λέγεις καθάπερ ἔχει. ΞΕ. Πέμπτον δὴ τὴν θατέρᾳ φύσιν λεκτέον ἐν τοῖς εἴδεσιν ἅσαν, ἐν οἷς προαιρέμεθα. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ διὰ πάντων γε αὐτὴν αὐτῶν φή-

7. Marg. Steph. *Ald.* μὴ λεκτέον. Quod quidem est certissimum dissimulationis Stephani vestigium. nam μὴ λεκτέον est lectio Bas. 2. Aldus edidit, vt tu, Stephane, ἡμῖν λεκτέον. Caeterum Serranus, veteris Codicis auctoritate, verba ἢ τᾶτο — δεῖ accepit sine interrogatione.

8. Ald. ὅτι.

φήσομεν εἶναι διεληλυθυῖαν.[9] ἓν ἕκαστον γὰρ ἕτερον εἶναι τῶν ἄλλων, οὐ διὰ τὴν αὑτῆ[10] φύσιν, ἀλλὰ διὰ τὸ μετέχειν τῆς ἰδέας τῆς θατέρου. ΘΕΑΙ. Κομιδῇ μὲν
41 οὖν. ΞΕ. Ὧδε δὴ λέγωμεν ἐπὶ τῶν πέντε, καθ' ἓν ἀναλαμβάνοντες. ΘΕΑΙ. Πῶς; ΞΕ. Πρῶτον μὲν κίνησιν, ὡς ἔστι παντάπασιν ἕτερον φάσεως. ἢ πῶς λέγομεν; ΘΕΑΙ. Οὕτω. ΞΕ. Οὐ φάσις ἄρ' ἔστι. ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Ἔστι δέ γε, διὰ τὸ μετέχειν τοῦ ὄντος. ΘΕΑΙ. Ἔστι. ΞΕ. Αὖθις δὴ πάλιν ἡ κίνησις ἕτερον ταυτοῦ ἐστι.[1] ΘΕΑΙ. Σχεδόν. ΞΕ. Οὐ ταυτὸν ἄρα ἐστί. ΘΕΑΙ. Οὐ γὰρ ἦν. ΞΕ. Ἀλλὰ μὴν αὖτη γ' ἦν ταυτὸν, διὰ τὸ μετέχειν αὖ πάντ' αὐτοῦ.[2] ΘΕΑΙ. Καὶ μάλα. ΞΕ. Τὴν κίνησιν δὴ ταυτόν τ' εἶναι καὶ μὴ ταυτὸν, ὁμολογητέον, καὶ ἀ δυσχεραντέον. ἀ γὰρ ὅταν εἴπωμεν αὐτὴν ταυτὸν καὶ μὴ ταυτὸν, ὁμοίως εἰρήκαμεν· ἀλλ' ὁπόταν μὲν ταυτὸν, διὰ τὴν μέθεξιν ταυτοῦ πρὸς αὐτὴν, ὕτω λέγομεν.[3] ὅταν δὲ μὴ ταυτὸν, διὰ τὴν κοινωνίαν αὖ θατέρου· δι' ἣν ἀποχωριζομένη[4] ταυτοῦ, γέγονεν[5] ἐκ ἐκεῖ-

9. In Francof. operae perperam dederunt φήσομεν διελ., omisso εἶναι.

10. Ald. Baſ. 1. 2 αὐτοῦ.

1. Ald. ταυτόν ἐστι· quod in Baſ. 1. 2 recte mutatum eſt in ταυτοῦ ἐστι, etiam Cornario monente.

2. In Marg. Steph. haec leguntur, Atqui motus idem eſſet, quoniam rurſus eius, quod idem eſt, participat, *legendo ex vet. Cod.* διὰ τὸ μετέχειν αὖ πάλιν ταυτοῦ. At vetus ille Codex, Stephane, ſunt Cornarii Eclogae, e quibus tu hanc ſummi Viri coniecturam hauſiſti. Sed non debebas adeo impudens eſſe, vt eam clamares eſſe veteris Codicis lectionem. Ficinus ita vertit hunc locum, vt vix appareat, quomodo legerit, *Attamen idem quodammodo eſt propter participationem. Omnia enim ipſo eodem participant.*

3. Ald. Baſ. 1. 2 λέγωμεν. male.

4. Baſ. 1 ἀποριζομένη. Baſ. 2. ἀπορωριζωμένη. mendoſe.

5. Baſ. 1 λέγονεν.

ἐκεῖνο, ἀλλ' ἕτερον. ὥσε ὀρθῶς αὖ λέγεται πάλιν ὡ ταυτόν. ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Οὐκοῦν κἂν εἴ πη μετελάμβανεν αὐτὴ κίνησις στάσεως, οὐδὲν ἂν ἄτοπον ἦν στάσιμον αὐτὴν προσαγορεύειν. ΘΕΑΙ. Ὀρθότατά γε. εἴπερ τῶν γενῶν συγχωρησόμεθα τὰ μὲν ἀλλήλοις ἐθέλειν μίγνυσθαι, τὰ δὲ μή. ΞΕ. Καὶ μὴν ἐπί γε τὴν τότε πρότερον ἀπόδειξιν, ἣ τῶν νῦν, ἀφικόμεθα, ἐλέγχοντες ὡς ἔστι κατὰ φύσιν ταύτη. ΘΕΑΙ. Πῶς γὰρ οὔ; ΞΕ. Λέγωμεν δὴ πάλιν. ἡ κίνησις ἔστιν ἕτερον τῇ στάσει, καθάπερ ταυτῷ τε ἦν ἄλλο καὶ τῆς στάσεως; ΘΕΑΙ. Ἀναγκαῖον. ΞΕ. Οὐχ ἕτερον ἄρ' ἔστι πη, καὶ ἕτερον, κατὰ τὸν νῦν δὴ λόγον. ΘΕΑΙ. Ἀληθῆ. ΞΕ. Τί δῆτα τὸ μετὰ τοῦτο; ἆρ' αὐτῶν μὲν τριῶν ἕτερον αὐτὴν φήσομεν εἶναι, τῷ δὲ τετάρτῳ μὴ φῶμεν; ὁμολογήσαντες αὐτὰ εἶναι πέντε, περὶ ὧν καὶ ἐν οἷς πρὸθέμεθα σκοπεῖν; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Ἀδύνατον γὰρ συγχωρεῖν ἐλάττω τὸν ἀριθμὸν τῶν νῦν δὴ φανέντος. ἀδεῶς ἄρα τὴν κίνησιν ἕτερον εἶναι τῷ ὄντος, διαμαχόμενοι λέγωμεν. ΘΕΑΙ. Ἀδεέστατα μὲν οὖν. ΞΕ. Οὐκοῦν δὴ σαφῶς ἡ κίνησις ὄντως ἐκ ὂν ἔστι, καὶ ὂν, ἐπείπερ τοῦ ὄντος μετέχει. ΘΕΑΙ. Σαφέστατά γε. ΞΕ. Ἔστιν ἄρα ἐξ ἀνάγκης τὸ μὴ ὂν ἐπί τε κινήσεως εἶναι καὶ κατὰ πάντα τὰ γένη. κατὰ πάντα γὰρ ἡ θατέρου φύσις, ἕτερον ἀπεργαζομένη τῶν ὄντος, ἔκασον ἐκ ὂν ποιεῖ καὶ ξύμπαντα δὴ κατὰ ταυτὰ, ὅτως ἐκ ὄντα ὀρθῶς ἐρεῖμεν καὶ πάλιν, ὅτι μετέχει τοῦ ὄντος, εἶναί τε καὶ ὄντα. ΘΕΑΙ. Κινδυνεύει. ΞΕ. Περὶ ἕκασον ἄρα τῶν εἰδῶν πολὺ μέν ἐστι τὸ ὄν, ἄπειρον δὲ πλήθει τὸ μὴ ὄν. ΘΕΑΙ. Ἔοικε. ΞΕ. Οὐκοῦν καὶ τὸ ὂν αὐτὸ τῶν ἄλλων ἕτερον εἶναι λεκτέον; ΘΕΑΙ. Ἀνάγκη. ΞΕ. Καὶ τὸ ὂν ἆρ' ἡμῖν, ὅσα

6 Ald. ἄπη.

7 Ald. Baſ. 1. 2 ἆρ'. male.

ἕσά πέρ ἐσι τὰ ἄλλα, κατὰ τοσαῦτα ἐκ ἔσιν. ἐκεῖνα γὰρ ἐκ ὄν, ἓν μὲν αὐτό ἐσιν, ἀπέραντα δὲ τὸν ἀριθμὸν τἄλλα ἐκ ἔσιν αὖ. ΘΕΑΙ. Σχεδὸν ἔτω. ΞΕ. Οὐκοῦν δὴ καὶ ταῦτα ἀ δυσχεραντέον, ἐπείπερ ἔχει κοινωνίαν ἀλλήλοις ἡ τῶν γενῶν Φύσις. εἰ δέ τις ταῦτα μὴ συγχωρεῖ, πείσας ἡμῶν τὰς ἔμπροσθεν λόγες, ἔτω πειθέτω τὰ μετὰ ταῦτα.[8] ΘΕΑΙ. Δικαιότατα εἴρηκας. ΞΕ. Εἰδῶμεν δὴ καὶ τόδε. ΘΕΑΙ. Τὸ ποῖον; ΞΕ. Ὁπόταν τὸ μὴ ὂν λέγωμεν, ὡς ἔοικεν, ἐκ ἐναντίον τι λέγομεν τῷ ὄντος, ἀλλ' ἕτερον μόνον. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἷον, ὅταν εἴπωμέν τι μὴ μέγα, τότε μᾶλλόν τί σοι φαινόμεθα τὸ σμικρὸν ἢ τὸ ἴσον δηλοῦν τῷ ῥήματι; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Οὐκ ἄρ' ἐναντίον ὅταν ἀπόφασις λέγηται σημαίνειν συγχωρησόμεθα·[9] τοσοῦτον δὲ μόνον, ὅτι τῶν ἄλλων τί μηνύει τὸ Μὴ καὶ τὸ Οὐ[10] προτιθέμενα τῶν ἐπιόντων ὀνομάτων, μᾶλλον δὲ τῶν πραγμάτων, περὶ ἅττ'[11] ἂν κέηται τὰ ἐπιφθεγγόμενα ὕσερον τῆς ἀποφάσεως ὀνόματα. ΘΕΑΙ Παντάπασι μὲν οὖν. ΞΕ. Τόδε δὲ διανοηθῶμεν, εἰ καὶ σοὶ ξυνδοκεῖ. ΘΕΑΙ. Τί τὸ ποῖον;[1] ΞΕ. Ἡ θατέρου μοι Φύσις φαίνεται κατακεκερματίσθαι, καθάπερ ἐπισήμη. ΘΕΑΙ. Πῶς; ΞΕ. Μία μέν ἐσί πε καὶ ἐκεί-

8. Ald. Bas. 1. 2 μετα ταῦτα.

κῆς ἐπιστήμης ἐσί ποτε τῶν ἀψύχων ἐπισατῆν, οἷον ἀρχιτεκτονικόν· ἀλλὰ γενναιότερον ἐν τοῖς ζώοις, καὶ περὶ αὐτὰ ταῦτα τὴν δύναμιν ἀεὶ κεκτημένον. ΣΩ. Ὀρθῶς. ΞΕ. Τήν γε μὴν τῶν ζώων γένεσιν καὶ τροφὴν, τὴν μέν τις ἂν ἴδοι μονοτροφίαν ἔσαν, τὴν δὲ, κοινὴν τῶν ἐν ταῖς ἀγέλαις θρεμμάτων ἐπιμέλειαν. ΣΩ. Ὀρθῶς. ΞΕ. Ἀλλ' ἐ μὴν τόν γε πολιτικὸν εὑρήσομεν ἰδιότροπον, [5] ὥσπερ βοηλάτην, ἢ τινα ἱπποκόμον, ἀλλ' ἱπποφορβῷ τε καὶ βοφορβῷ μᾶλλον προσεοικότα. ΣΩ. Φαίνεταί γε δὴ ῥηθὲν νῦν. ΞΕ. Πότερον ἓν τῆς ζωοτροφίας τὴν τῶν ξυμπόλων [6] κοινὴν τροφὴν, ἀγελαιοτροφίαν ἢ κοινοτροφικήν τινα ὀνομάζωμεν; ΣΩ. Ὁπότερον ἂν ἐν τῷ λόγῳ συμβαίνοι. ΞΕ. Καλῶς γε, ὦ Σώκρατες. καὶν διαφυλάξῃς τὸ μὴ σπεδάζειν ἐπὶ τοῖς ὀνόμασι, πλεσιώτερος εἰς τὸ γῆρας ἀναφανήσῃ φρονήσεως. [1] νῦν δὲ τοῦτο μὲν, καθάπερ διακελεύῃ, [2] ποιητέον· τὴν δὲ ἀγε-

6

5. Sic legitur etiam in Ald. Baſ. 1. 2. Sed Stephanus in marginibus exempli ſui haec adſcripſit, ἰδιοτρόφον *legiſſe potius videtur Ficinus: quod conuenit etiam cum eo, quod modo vocauit* μονοτροφίαν· *perinde ac ſi dictum ibi eſſet* ἰδιοτροφίαν, *et hic* μονοτρόφον· recte. At haec ipſa obſervatio iam in Eclogis Cornarii legitur. Ficinus ſcilicet vertit, *Ciuilis autem non* priuatim vnicique curam gerit, *quemadmodum qui bouem agitat;* vt certum ſit, eum legiſſe ἰδιοτρόφον· quam lectionem res ipſa requirit.

6. Ald. Baſ. 1. 2 ξυμπόλων.

1. Laudat hunc locum, καὶν διαφυλάξῃς — φρονήσεως Athenaeus 3, 21: etiam Clemens Alex. Stromm. 1 p. 105 Victor.: ſed legitur ibi κὰν φυλάξῃς — εἰς γῆρας ἀναφανήσῃ· male: ſed Poterus edidit ἀναφανήσῃ.

2. Ald. Baſ. 1. 2 διακελεύῃ, recte. Haec enim eſt forma vetus Attica, quam recentiores Grammatici et librarii temere mutarunt in formam alteram. Sic ap. Ariſtoph. Plut. 964 πυνθάνῃ recte ſcriptum eſt in antiquis Codicibus, ſed in Codice Doruilliano recen-

ἀγελαιοτροφικὴν [3] ἆρ' ἐννοεῖς πῇ τις δίδυμον ἀποφήνας, τὸ ζητέμενον ἐν διπλασίοις, τὰ νῦν, [4] ἐν τοῖς ἡμίσεσιν εἰς τότε ποιήσει ζητεῖσθαι; ΣΩ. Προθυμήσομαι. καί μοι δοκεῖ τῶν μὲν ἀνθρώπων ἕτερα τὶς εἶναι, τῶν δὲ αὖ θηρίων ἄλλη τροφή. ΞΕ. Παντάπασί γε προθυμότατα καὶ ἀνδρειότατα διήρησαι. μὴ μέντοι τοῦτό γε εἰσαῦθις κατὰ δύναμιν πάσχωμεν. ΣΩ. Τὸ ποῖον; ΞΕ. Μὴ σμικρὸν μόριον ἓν πρὸς πολλὰ καὶ μεγάλα ἀφαιρῶμεν, μηδὲ εἴδους χωρίς· ἀλλὰ τὸ μέρος, ἅμα εἶδος ἐχέτω. κάλλιον μὲν γὰρ ἀπὸ τῶν ἄλλων εὐθὺς διαχωρίζειν τὸ ζητέμενον, ἂν ὀρθῶς ἔχῃ, καθάπερ ὀλίγον σὺ πρότερον εἰπὼν ἔχειν τὴν διαίρεσιν, ἐπέσπευσας τὸν λόγον, ἰδὼν ἐπ' ἀνθρώπους πορευόμενον. ἀλλὰ γὰρ, ὦ φίλε, λεπτεργεῖν ἐκ ἀσφαλές· διὰ μέσων [5] δὲ ἀσφαλέστερον ἰέναι τέμνοντας· καὶ μᾶλλον ἰδέαις ἄν τις προστυγχάνοι. [6] τοῦτο δὲ διαφέρει τὸ πᾶν πρὸς τὰς ζητήσεις. ΣΩ. Πῶς, ὦ ξένε, λέγεις τοῦτο; ΞΕ. Πειρατέον ἔτι σαφέστερον φράζειν, εὐνοίᾳ τῆς σῆς φύσεως, ὦ Σώκρατες. ἐν τῷ μὲν δὴ παρεσηκότι

centiore legitur πυνθάνῃ· et ap. Symmachum 1 Sam. 2, 32 recte editum eſt ὄψει, quum in libris Procopii Gazaei legatur ὄψῃ· vnde vanitas coniecturae Druſii perſpicitur, qui ὄψεις reponendum cenſebat. Et ap. Plat. Crito, 4 pro προμηθῇ Priſcianus p. 1204 Putſch. melius habet προμηθᾶ. vid. ſchol. Ariſtoph. ad Plut. 40, Hemſterhuſiusad Ariſtoph. Plut. 828, Valquenarius ad Eurip. Phoeniſſ. 216 ſ. et nos ad Vueller. p. 31.

3. Ex hoc aliiſque locis huius Dialogi Lederlinus recte repoſuit ἀγελαιοτροφικὴ ap. Pollucem 7, 209 pro ἀγελαιοτροφικὴ, quod erat in Codd. Grammatici et in editionibus ſuperioribus, vt Aldina et Iuntina, etiam Seberiana.

4. Ald. Baſ. 1. 2 ἢ τὰ νῦν. Sed Cornarius in Eclogis recte iuſſit tolli particulam ἢ, quam nec Ficinus in Verſione Latina expreſſit.

5. Baſ. 1. 2 μέσον· mendoſe.

6. Ald. Baſ. 1, 2 προστυγχάνει.

εσηκότι τὰ νῦν δηλῶσαι μηδὲν ἐνδεῶς, ἀδύνατον· ἐπιχειρητέον δέ τι καὶ σμικρῷ πλέον αὐτὸ προσαγαγεῖν εἰς τὸ πρόσθεν, σαφηνείας ἕνεκα. ΣΩ. Ποῖον ἓν φράζεις διαιρεμένης ἡμᾶς ἐκ ὀρθῶς ἄρτι δρᾷν; ΞΕ. Τοιόνδε, οἷον εἴτις τἀνθρώπινον ἐπιχειρήσας δίχα διελέσθαι γένος, διαιρεῖ, καθάπερ οἱ πολλοὶ τῶν ἐνθάδε διανέμεσι, τὸ μὲν Ἑλληνικὸν ὡς ἓν ἀπὸ πάντων ἀφαιρῶντες χωρὶς σύμπασι δὲ τοῖς ἄλλοις γένεσιν ἀπείροις ὄσι καὶ ἀμίκτοις καὶ ἀσυμφώνοις πρὸς ἄλληλα, βάρβαρον μιᾷ κλήσει προσειπόντες αὐτὸ, διὰ ταύτην τὴν μίαν κλῆσιν, καὶ γένος ἓν αὐτὸ εἶναι προσδοκῶσιν. ἢ τὸν ἀριθμὸν τὶς αὖ νομίζοι κατ' εἴδη δύο διαιρεῖν, μυριάδα ἀποτεμνόμενος ἀπὸ πάντων, ὡς ἓν εἶδος ἀποχωρίζων, καὶ τῷ λοιπῷ δὴ παντὶ θέμενος ἓν ὄνομα, διὰ τὴν κλῆσιν αὖ καὶ τοῦτ' ἀξιοῖ γένος ἐκεῖνα χωρὶς ἕτερον ἐγγίγνεσθαι. κάλλιον δέ πᾳ καὶ μᾶλλον κατ' εἴδη καὶ δίχα διαιροῖτ' ἄν, εἰ τὸν μὲν ἀριθμὸν ἀρτίῳ καὶ περιττῷ τις τέμνοι, τὸ δὲ αὖ τῶν ἀνθρώπων γένος, ἄρρενι καὶ θήλει· Λυδὸς δὲ, ἢ Φρύγας, ἢ τινας ἑτέρους, πρὸς ἅπαντας τάττων ἀποσχίζοι τότε, ἡνίκα ἀπορεῖ γένος ἅμα καὶ μέρος εὑρίσκειν ἑκάτερον τῶν σχισθέντων. ΣΩ. Ὀρθότατα. Ἀλλὰ γὰρ τῇτο 7
αὐτὸ, ὦ ξένε, πῶς ἄν τις γένος καὶ μέρος ἐναργέστερον γνοίη, ὡς ἑ ταυτόν ἐσιν, ἀλλ' ἕτερον ἀλλήλοιν. ΞΕ. Ὦ βέλτισε ἀνδρῶν, ἑ φαῦλον προστάττεις, Σώκρατες. ἡμεῖς μὲν καὶ νῦν μακρότερον τῦ δέοντος ἀπὸ τῦ προτεθέντος λόγυ πεπλανήμεθα, σὺ δὲ ἔτι πλέον ἡμᾶς κελεύεις πλανηθῆναι. νῦν μὲν ἓν, ὥσπερ εἰκὸς, ἐπανίωμεν πάλιν· ταῦτα δὲ εἰσαῦθις κατὰ σχολὴν, καθάπερ ἰχνεύοντες, μέτιμεν. ἑ μὴν ἀλλὰ

1. Marg. Steph. γρ^φ ταυτόν ἐσιν. haec lectio est. hoc enim in libro diserte scriptum extat ταυτὸν ἐσόν. Nempe Bas. 2

ἀλλὰ τȣ̃τό γε αὖ παντάπασι φύλαξαι,[2] μήποτε παρ' ἐμȣ̃ δόξης ἀυτὸ ἐναργῶς διωρισμένον ἀκηκοέναι. ΣΩ.[3] Τὸ ποῖον; ΞΕ. Εἶδός τε καὶ μέρος, ἕτερον ἀλλήλων[4] εἶναι. ΣΩ. Τί μήν; ΞΕ. Ὡς εἶδος μὲν ὅταν ᾖ τȣ,[5] καὶ μέρος ἀναγκαῖον ἀυτὸ εἶναι τȣ̃ πράγματος ὅτȣ περ ἂν εἶδος λέγηται· μέρος δὲ, εἶδος, ȣ̓δεμία ἀνάγκη. ταύτῃ με ἢ κείνῃ μᾶλλον, ὦ Σώκρατες, ἀεὶ φάθι λέγειν. ΣΩ. Ταῦτ' ἔσται. ΞΕ. Φράσον δή μοι τὸ μετὰ τȣ̃το. ΣΩ. Ποῖον; ΞΕ. Τὸ τῆς ἀποπλανήσεως ὁπόθεν ἡμᾶς δεῦρ' ἤγαγεν. οἶμαι μὲν γὰρ μάλιστα, ὅθεν, ἐρωτηθεὶς σὺ τὴν ἀγελαιοτροφίαν ὅπη διαιρετέον, εἶπες μάλα προθύμως δύ' εἶναι ζώων γένη· τὸ μὲν, ἀνθρώπινον· ἕτερον δὲ τῶν ἄλλων ξυμπάντων θηρίων ἕν. ΣΩ. Ἀληθῆ. ΞΕ. Καὶ ἔμοιγε δὴ τότ' ἐφάνης, μέρος ἀφαιρῶν, ἡγεῖσθαι καταλιπεῖν τὸ λοιπὸν αὖ πάντων γένος ἕν· ὅτι πᾶσι ταυτὸν ἐπονομάζειν ἔσχες ὄνομα, θηρία καλέσας. ΣΩ. Ἦν καὶ ταῦτα ȣ̓τω. ΞΕ. Τὸ δέ γε, ὦ πάντων ἀνδρειότατε, τάχ' ἂν,[6] εἴ πȣ

2. Baſ. 2 φυλάξαι. male.

3. Abeſt ΣΩ. ab Ald. male.

4. Stephanus coni. ἀλλήλοιν, vt paulo ante. non male.

5. Ald. Baſ. 1 ἦτον· ſed Baſ. 2 habet ᾖ τȣ, vt Cornarius legendum monuit. Atque inde intellegi poteſt, quid de fide Stephani ſentiendum ſit, qui, *male*, inquit, *in prioribus editionibus* ἦτον, *pro* ᾖ τȣ, *id eſt*, ᾖ τινος.

6. Stephanus putabat, Ficinum hic ſequutum eſſe magis integram lectionem, et κατὰ ταυτὰ inter alia legiſſe. Et κατὰ ταυτὰ quidem eum legiſſe, certiſſimum videtur, idque, vt ego arbitror, rectius: ſed an reliqua verba aliter legerit, ipſi lectores ſtatuant. Vertit enim totum locum Latine ſic, *Hoc, o omnium fortiſſime Socrates, perinde videtur eſſe, ac ſi quod aliud animal, vt grus, aut aliud tale, prudentiae particeps, eodem, quo tu, pacto grues rationales vocet, ſibi ex eo placens* —.

πᾳ Φρόνιμόν ἐσί τι ζῶον [7] ἕτερον, οἷον δοκεῖ τὸ τῶν γεράνων, ἢ τι τοιοῦτον ἄλλο, ὃ κατὰ ταῦτα ἴσως διονομάζει, καθάπερ καὶ σὺ, γεράνους μὲν ἓν γένος ἀντιτιθὲν τοῖς ἄλλοις ζώοις, καὶ σεμνῦνον αὐτὸ ἑαυτό· τὰ δὲ ἄλλα μετὰ τῶν ἀνθρώπων ξυλλαβὸν εἰς ταυτὸ, ἀδὲν ἄλλο πλὴν ἴσως θηρία προσείπει πειραθῶμεν ἓν ἡμεῖς ἐξευλαβεῖσθαι πάντ' ἐπόσα τοιαῦτα. ΣΩ. Πῶς; ΞΕ. Μὴ πᾶν τὸ ζώων γένος διαιρέμενοι, ἵνα ἧττον αὐτὰ πάσχωμεν. ΣΩ Οὐδὲν γὰρ δεῖ. ΞΕ. Καὶ γὰρ ἓν καὶ τότε ἡμαρτάνετο ταύτῃ. ΣΩ. Τί δή; ΞΕ. Τῆς γνωσικῆς ὅσον ἐπιτακτικὸν ἡμῖν μέρος, ἦν πᾳ τῷ ζωοτροφικῷ γένει ἀγελαίων μὴν ζώων. ἦ γάρ; ΣΩ. Ναί. ΞΕ. Διῄρητο τοίνυν ἤδη καὶ τότε ξύμπαν τὸ ζῶον τῷ τιθασσῷ καὶ ἀγρίῳ. τὰ μὲν γὰρ ἔχοντα τιθασσεύεσθαι φύσιν, ἥμερα προσείρηται· τὰ δὲ μὴ ἔχοντα, ἄγρια. ΣΩ. Καλῶς. ΞΕ. Ἣν δέ γε θηρεύομεν [8] ἐπιστήμην, ἐν τοῖς ἡμέροις ἦν τε καὶ ἔστιν· ἐπὶ τοῖς ἀγελαίοις μὴν ζητητέα θρέμμασι. ΣΩ. Ναί. ΞΕ. Μὴ τοίνυν διαιρώμεθα, ὥσπερ τότε, πρὸς ἅπαντα ἀποβλέψαντες, μηδὲ σπεύσαντες· ἵνα δὴ ταχὺ γενώμεθα πρὸς τῇ πολιτικῇ. πεποίηκε γὰρ ἡμᾶς καὶ νῦν παθεῖν τὸ κατὰ τὴν παροιμίαν πάθος. ΣΩ. Ποῖον; ΞΕ. Οὐχ ἡσύχως, εὖ διαιρεῖντας, ἠνυκέναι βραδύτερον. ΣΩ. Καὶ καλῶς γε, ὦ ξένε, πεποίηκε ΞΕ. Ταῦτ' ἔσω. Πάλιν δ' ἓν ἐξ ἀρχῆς τὴν κοινοτροφικὴν πειρώμεθα διαιρεῖν. ἴσως γὰρ καὶ τοῦτο, ὃ σὺ προθυμῇ, διαπεραινόμενος· ὁ λόγος αὐτός σοι κάλλιον μηνύσει. καί μοι φράζε. ΣΩ. Ποῖον δή; ΞΕ. Τόδε τινῶν πολλάκις ἆρα διακήκοας. ἐ γὰρ δὴ προσ- 8

7. Baf. 2 ζῶν· operarum incuria.

8. Ald. Baf. 1. 2 θηρεύωμεν. male.

1. Baf. 2 διαπεραινόμενος.

προστυχής γε αὐτὸς οἶδ' ὅτι γέγονας τοῖς ἐν τῷ Νείλῳ τιθασσείαις τῶν ἰχθύων,[2] καὶ τῶν ἐν ταῖς βασιλικαῖς λίμναις. ἐν μὲν γὰρ κρήναις[3] τάχ' ἂν ἴσως εἴης ἠσθημένος. ΣΩ. Πάνυ μὲν ἔν καὶ ταῦτα τεθέαμαι, κἀκεῖνα πολλῶν ἀκήκοα. ΞΕ. Καὶ μὴν χηνοβοτίας γε καὶ γερανοβοτίας,[4] εἰ καὶ μὴ πεπλάνησαι περὶ τὰ Θετταλικὰ πεδία, πέπυσαι γᾶν καὶ πιστεύεις εἶναι. ΣΩ. Τί μήν; ΞΕ. Τοῦδ' ἕνεκά τι[5] πάντα ἠρώτησα ταῦτα, διότι τῆς τῶν ἀγελαίων τροφῆς ἔστι μὲν ἔνυδρον, ἔστι δὲ καὶ ξηροβατικόν.[6] ΣΩ. Ἔστι γὰρ ἕν. ΞΕ. Ἆρ' ἂν καί σοι ξυν-

2 Vid. Aelianus V. H. 8, 4 et 12, 30: Plinius H. N. 32, 2.

3. Ita reſcripſimus pro κρίναις· quod in exemplum Stephanianum irrepſit operarum neglegentia.

4. In libris olim nonnullis ſcriptum fuiſſe videtur χηνοβοσίας γε καὶ γερανοβοσίας. Certe in Codicibus Pollucis, qui reſpexit ad hunc locum Onom. 9, 16, ita legitur, et ap. Heſychium eſt, χηνοβοσία· χηνοβοσκία. Verba Pollucis ſunt, τάχα δὲ καὶ γερανοβοσίαι, καὶ χηνοβοσίαι, κατὰ Πλάτωνα. Sed arbitror cum Kuhnio, ſcripturam γερανοβοσία et χηνοβοσία fuiſſe communem, alteram Atticam. Quae quidem ratio tutior eſt et melior, quam Iungermani ratio, qui libros Platonis emendandos eſſe cenſebat e libris Pollucis. Sic Attici, Moeride auctore, ἀνοητία dixere, quum reliqui Graeci forma nominis altera, ἀνοησία, vſi ſint: vbi v. Pierſonus p. 29.

5. Stephanus legi malebat τοι. recte, opinor. Caeterum in Ald. Baſ. 1. 2 eſt ἕνεκα· et ab Ald. abeſt ΞΕ.

6. Stephanus ſcribendum putabat ξηροβοτικόν. male. id quod vel Athenaeus docet, qui laudat hunc locum Platonis 3, 21, Διὰ ταῦτα τοιαῦτα ὁ Θαυμάσιος Πλάτων, inquiens, ἐν τῷ Πολιτικῷ λόγῳ, ξηροβατικά τινα ζῶα καὶ ὑδροβατικὰ ἄλλα, ξηροτροφικόν τε καὶ ὑγροτροφικὸν καὶ ξηρονομικὸν, ἐπὶ ζώων χερσαίων καὶ ἐνύγρων καὶ ἐναερίων, ἐπιλέγει, ὥσπερ παρακελευόμενος τούτοις τοῖς ὀνοματοποιοῖς φυλάττεσθαι τὴν καινότητα. —.

ξυνδοκεῖ ταύτῃ δεῖν διχάζειν [7] τὴν κοινοτροφικὴν ἐπιστήμην, ἐφ' ἑκατέρῳ τάττων τὸ μέρος αὐτῆς ἐπινέμοντας ἑκάτερον; τὸ μὲν ἕτερον, ὑγροτροφικὸν ὀνομάζοντας, τὸ δ' ἕτερον ξηροτροφικόν; ΣΩ. Ἔμοιγε. ΞΕ. Καὶ μὴν καὶ τὸ βασιλικὸν ἅτως ἐ ζητήσομεν ὁποτέρας ἐσὶ τῆς τέχνης. δῆλον δὴ γὰρ παντί. ΣΩ. Πῶς δ' ἔ; ΞΕ. Πᾶς μὲν δὴ τόγε ξηροτροφικὸν τῆς ἀγελαιτροφίας διέλοιτ' ἂν φῦλον. ΣΩ. Πῶς; ΞΕ. Τῷ πτηνῷ τε καὶ πεζῷ διορισάμενος. ΣΩ. Ἀληθέσατα. ΞΕ. Τί δέ; τὸ πολιτικὸν, ὥσπερ τὸ πεζὸν, ζητητέον; ἢ ἐκ οἴει καὶ τὸν ἀφρονέσατον, ὡς ἔπος εἰπεῖν, δοξάζειν ἅτω; ΣΩ. Ἔγωγε. ΞΕ. Τὴν δὲ πεζονομικὴν, καθάπερ ἄρτιον [8] ἀριθμὸν, δεῖ τεμνομένην δίχα ἀποφαίνειν. ΣΩ. Δῆλον. ΞΕ. Καὶ μὴν ἐφ' ὅ γε μέρος ὥρμηκεν ἡμῖν ὁ λόγος, ἐπ' ἐκεῖνο δύο τινὲ καθορᾶν ἐδὼ τεταμένα φάινεται· τὴν μὲν, θάττω, πρὸς μέγα μέρος σμικρὸν διαιρεμένην· τὴν δὲ, ὅπερ ἐν τῷ πρόσθεν ἐλέγομεν, ὅτι δεῖ μεσοτομεῖν, ὡς μάλιστα τᾶτ' ἔχεσαν μᾶλλον· μακροτέραν γε μήν. ἔξεσιν ἦν, ὁποτέραν ἂν βουληθῶμεν, ταύτην πορευθῆναι. ΣΩ. Τί δὲ ἀμφοτέρας [9] ἀδύνατον; ΞΕ.

7. Marg. Steph., *Legitur etiam* δίχα σχίζειν. *Est autem fortasse expositio illius verbi, quae ex margine irrepsit.* recte, opinor, iudicasti, Stephane: sed pro *legitur etiam* debebas scribere *in Bas. 2 legitur.* nam hoc quidem in libro extat ista lectio.

8. Cornarius emendabat ἄρτι, h. e. *modo, paulo ante:* nempe f. 6. recte: etsi omnes libri editi habent ἄρτιον· etiam Codices Ficini ita legerint necesse est, quum verterit, *paris instar numeri.* Nam ipsius quidem numeri omnis duo genera sunt, duae formae: quum numerus perfectus describi ac diuidi in duas formas nec possit nec soleat.

9. Stephanus malebat ita interpungi τί δέ; ἀμφοτέρας: recte: ipsa Hospitis responsio hanc rationem confirmat. Neque vero aliter accepit verba Ficinus, vertit

Ἅμα γ', ὦ θαυμασέ· ἐν μέρει γε μὴν δῆλον ὅτι δυνατόν. ΣΩ. Ἐν μέρει τοίνυν ἔγωγε ἀμφοτέρας χίρεμαι. ΞΕ. Ῥᾴδιον· ἐπειδὴ τὸ λοιπὸν βραχύ. κατ' ἀρχὰς μὲν ἦν, καὶ μεσῆσιν [10] ἅμα τῆς πορείας, χαλεπὸν ἂν ἦν ἡμῖν τὸ πρόσταγμα· νῦν δ' ἐπειδὴ δοκεῖ ταύτῃ, τὴν μακροτέραν πρότερον ἴωμεν. νεαλέστεροι [11] γὰρ ὄντες, ῥᾷον αὐτὴν πορευσόμεθα. τὴν δὲ
9 δὴ διαίρεσιν ἔρα. ΣΩ. Λέγε. ΞΕ. Τὰ περὶ ἡμῖν τῶν ἡμέρων, ὅσά περ ἀγελαῖα, διῃρημένα ἐστὶ φύσει. [1] ΣΩ. Τί δή; ΞΕ. Τῷ τῶν μὲν τὴν γένεσιν, ἄκερων [2] εἶναι, τῶν δὲ, κερασφόρον. ΣΩ. Φαίνεται. ΞΕ. Τὴν δὴ πεζονομικὴν διελὼν, ἀπόδος ἑκατέρῳ τῷ

vertit enim, *An per vtrumque proficiſci non licet?*

10. Stephanus in marg. exempli ſui haec adſcripſit, *Quidam repoſuit* μεσάσης· *ſed Ariſtides conſtructionem illam, et quidem cum eodem Genitiuo, imitatione ſua comprobat.* Huius coniecturae auctor quis eſſet, ignorabamus: ſed admodum vereor, ne voluerit Stephanus notare Ficinum, qui vertit, *ſane in principio, medioue itinere.* Ex his vero verbis non putamus collegi poſſe, Ficinum legiſſe μεσάσης, quum potuerit ſenſum verborum ſequutus eſſe. Caeterum recte tuitus eſt Stephanus alteram lectionem auctoritate Ariſtidis, cuius locum etiam in Theſauro linguae Graecae laudauit.

11. Schol. Aug. νεαλέστεροι· νεαλὴς, ὁ πρόσφατος· ἥρηται δὲ ἐπὶ τῶν ἀλλὰ πατυμένων ἡ λέξις· ἔτι δὲ καὶ ὁ νεωστὶ ἁλωκὼς ἰχθὺς, καὶ δὴ καὶ ὁ νεωστὶ ἀλισθείς. Non diſſentiunt ab eo Heſychius, Auctor Etymol. M., et Ammonius. Sed νεαλὴς haud dubie eſt tantum a νέος ductum, ita, vt ſit ſimpliciter vocabulum παράγωγον. Caeterum pro πατυμένων, vt etiam in Heſychii libris legitur, reponi haud dubie debet πεπασμένων, ex Ammonio.

1. Marg. Steph. *Poſt φύσει quidam vet. habet* δίχα· *deinde Socrates in iiſdem interrogat* Τίνι; *non* τί δή. Nimirum in Baſ. 2 eſt ΣΩ. δίχα τίνι;

2. Baſ. 1. 2 ἀκέρων.

τῷ μέρει, λόγῳ χρώμενος. ἂν γὰρ ὀνομάζειν αὐτὰ βεληθῇς, ἔσαι σοὶ περιπεπλεγμένον μᾶλλον τῶ δέοντος. ΣΩ. Πῶς ἦν χρὴ λέγειν; ΞΕ. [1]Ὧδε. τῆς πεζονομικῆς ἐπιστήμης δίχα διαιρεθείσης, τὸ μόριον θάτερον ἐπὶ τῷ κερασφόρῳ μέρει τῷ τῆς ἀγέλης ἐπιτετάχθαι, τὸ δὲ ἕτερον ἐπὶ τῷ τῆς ἀκεράτου. [3] ΣΩ. Ταῦτ' ἔσω ταύτῃ λεχθέντα. πάντως γὰρ ἱκανῶς δεδήλωται. ΞΕ. Καὶ μὴν ὅγε βασιλεὺς ἡμῖν αὖ καταφανὴς ὅτι κολοβῶν τινὰ ἀγέλην ἀκεράτων νομεύει. ΣΩ. Πῶς γὰρ ἀδῆλος; ΞΕ. Ταύτην τοίνυν καταθραύσαντες, [4] τὸ γινόμενον [5] αὐτῷ πειρώμεθα ἀποδεῖναι. ΣΩ. Πάνυ γε. ΞΕ. Πότερον ἦν βέλει τῷ σχιστῷ τε καὶ τῷ καλεμένῳ μώνυχι [6] διαιρεῖν αὐτὴν, ἢ τῇ κοινογονίᾳ [7] τε καὶ ἰδιογονίᾳ; μανθάνεις γάρ που. ΣΩ. Τὸ ποῖον; ΞΕ. [8]Ὅτι τὸ μὲν τῶν ἵππων καὶ ὄνων πέφυκεν ἐξ ἀλλήλων γεννᾶν. ΣΩ. Ναί. ΞΕ. Τὸ δέ γε λοιπὸν ἔτι τῆς μιᾶς ἀγέ-

3. Ald. Baſ. 1. 2 τὸ τῆς ἀκεράτε. male. Sed vſus eſt Plato hoc loco forma vocabuli integra nec contracta, quia ἄκερως et ἄκερων ſunt μονόπτωτα, auctore Suida in v. ἄκερως βῶς.

4. Baſ. 2 καταθραύσοντες. male.

5. Ald. κινούμενον. Baſ. 1. 2 κοινούμενον. Sed Cornarius in Eclogis monuit, emendandum eſſe γινόμενον, propterea quod Hoſpes ſupra ſ. 5 dixiſſet ἆρ' οὐχ εὑρήσομεν γενέσεως τινὸς ἕνεκα προστάττοντας, hoc eſt, *Nonne imperantes ea de cauſſa inueniemus, vt ſcilicet aliquid fiat?* Iam eas mihi, lector, et iudices de fide et grauitate Stephani, qui in marg. exempli ſui haec ſcripſit, *Ald. editio habet* κινούμενον, *quod Germanica* [h. e. Baſ 1] *mutauit in* κοινούμενον. *At vet. Cod. lectio eſt* γινόμενον, *quae cum praecedentibus etiam conuenit, et a Ficino agnoſcitur.* nam vertit, *Hanc itaque diſcerpentes, quod ab ipſo agitur, exhibere conemur.*

6. Heſychius: μώνυξ· ὁ μίαν ὁπλὴν ἔχων, μονώνυχος.

7. Baſ. 2 κοινογενία quod eſt operarum peccatum.

8. Stephanus coni. ὅ, τι.

λης τῶν ἡμέρων, ἀμιγὲς γένει πρὸς ἄλληλα. ΣΩ. Πῶς δ' ἔ; ΞΕ. Τί δ' ὁ πολιτικὸς ἆρ' ἐπιμέλειαν ἔχειν φαίνεται, πότερα κοινογενὲς φύσεως, ἢ τινος ἰδιογενές; [9] ΣΩ. Δῆλον ὅτι τῆς ἀμίκτου. ΞΕ. Ταύτην δὴ δεῖ καθάπερ τὰ ἔμπροσθεν, ὡς ἔοικεν, ἡμᾶς δίχα διασέλλειν. ΣΩ. Δεῖ γὰρ ἕν. ΞΕ. Καὶ μὴν τό γε ζῷον, ὅσον ἥμερον καὶ ἀγελαῖον, σχεδόν, πλὴν γενοῖν δυοῖν, πᾶν ἤδη κατακεκερμάτισαι. τὸ γὰρ τῶν κυνῶν ἐκ ἐπάξιον καταριθμεῖν γένος ὡς ἐν ἀγελαίοις θρέμμασι. ΣΩ. Οὐ γὰρ ἔν· ἀλλὰ τίνι δὴ τὼ δύο διαιρεῖμεν; ΞΕ. Ὧπερ [10] καὶ δίκαιόν γε Θεαίτητόν τε καί σε διανέμειν, ἐπειδὴ γεωμετρίας ἅπτεσθον. ΣΩ. Τῷ; ΞΕ. Τῇ διαμέτρῳ δήπου, καὶ πάλιν τῇ [11] τῆς διαμέτρου διαμέτρῳ. ΣΩ. Πῶς εἶπες; ΞΕ. Ἡ φύσις ἦν τὸ γένος ἡμῶν τῶν ἀνθρώπων κέκτηται, μῶν ἄλλως πως εἰς τὴν πορείαν πέφυκεν ἢ καθάπερ ἡ διάμετρος ἡ δυνάμει δίπους; ΣΩ. Οὐκ ἄλλως. ΞΕ. Καὶ μὴν ἥ γε τῶ λοιπῶ γένους πάλιν ἐσὶ κατὰ δύναμιν αὖ τῆς ἡμετέρας δυνάμεως διάμετρος· εἴπερ δυοῖν γέ ἐσι ποδοῖν δὶς πεφυκυῖα. ΣΩ. Πῶς δ' ἐκ ἔσι; καὶ δὴ καὶ σχεδὸν ὃ βέλει δηλῶν, μανθάνω. ΞΕ. Πρὸς δὴ τάτοις, ἕτερον αὖ τι τῶν πρὸς γέλωτα ἐυδοκιμησάντων ἂν, ὦ Σώκρατες, ἆρα καθορῶμεν ἡμῖν γεγονὸς ἐν τοῖς διηρημένοις; ΣΩ. Τὸ ποῖον; ΞΕ. Τὰνθρώπινον ἡμῶν ἅμα γένος ξυνειλη-

9. Stephanus scribendum putabat, τί δ' ὁ πολιτικός; ἆρ' ἐπιμέλ. κ. τ. λ. Videbatur quoque ei πλεονάζειν Aduerbium πότερα, quum praecederet ἆρα· aut bimembris esse haec oratio, et prius membrum claudi verbo φαίνεται. recte. sam in Baf. 2 interpunctum est ſic, τί δ' ὁ πολιτικὸς,: sed πότερα nobis redundare non videtur. nam vt ἆρα cohaeret cum verbis ἐπιμέλειαν ἔχειν φαίνεται, ita πότερα refertur ad ἥ.

10. Baf. 2 ὥσπερ. male, quum praecedat τίνι.

11. Ald. Baf. 1 ἡ.

εἰληχὸς καὶ ξυνδεδραμηκὸς γένει τῷ τῶν ὄντων γενναιοτάτῳ καὶ ἅμα εὐχερεστάτῳ. ΣΩ. Καθορῶ καὶ μάλ' ἀτόπως ξυμβαῖνον. ΞΕ. Τί δ' ἂν εἰκὸς ὕσατα ἀφικνεῖσθαι τὰ βραδύτατα; ΣΩ. Ναὶ, τᾶτό γε. ΞΕ. Τόδε δὲ ἂν ἐννοῶμεν, ὡς ἔτι γελοιότερος φαίνεται ὁ βασιλεὺς, μετὰ τῆς ἀγέλης ξυνδιαθέων, καὶ ξύνδρομα πεπορευμένος, τῷ [12] τῶν ἀνδρῶν αὖ πρὸς τὸν εὐχερῆ βίον ἄρισα γεγυμνασμένῳ. ΣΩ. Παντάπασι μὲν ἔν. ΞΕ. Νῦν γὰρ, ὦ Σώκρατες, ἐκεῖνο ἐσὶ καταφανὲς μᾶλλον τὸ ῥηθὲν τότ' ἐν τῇ περὶ τὸν σοφισὴν ζητήσει. ΣΩ. Τὸ ποῖον; ΞΕ. Ὅτι τῇ τοιᾷδε μεθόδῳ τῶν λόγων ἅτε σεμνοτέρᾳ μᾶλλον ἐμέλησεν, ἢ μὴ, τόν τε σμικρότερον ἐδὲν ἠτίμακε πρὸ τᾶ μείζονος· ἀεὶ δὲ καθ' αὑτὴν [13] περαίνει τἀληθέσατον. ΣΩ. Ἔοικε. ΞΕ. Οὐκᾶν μετὰ τᾶτο, [14] ἵνα μὴ μεμφῇς, [15] ἐρωτήσας τὴν βραχυτέραν

12. Ald. τῳ. Baſ. 2 τό. male.

13. Baſ. 2 αὐτήν. mendoſe.

14. Ald. Baſ. 1 μετατᾶτο.

15. Corrigendum Stephano videbatur μεμφθῇς, ita tamen, vt dubitaret quodammodo de alterius ſcripturae vitio. nam, *Si emendanda ſit*, inquit, *haec lectio, in* μεμφθῇς *mutanda fuerit.* Scilicet vidiſſe videtur, Ficinum locum vertiſſe, *Poſt hoc ne me praeuenias* —. Vnde eum legiſſe certiſſimum arbitror μή με φθῇς· quam lectionem ego genuinam puto; praeſertim quum ſequatur πρότερον ἔλθω, non ἔλθῃ, vt vitioſe ſcriptum legitur in Baſ. 2. Certe vulgata ſcriptura μέμφῃς manifeſte mendoſa eſt. Haec quum ſcripſiſſem, vidi, Stephanum in Notis ipſum probaſſe lectionem μή με φθῇς· ſed pro ſua gloriandi libidine eam ex ſuo ingenio promtam ait, non e Verſione Ficini: e cuius tamen fonte ab eo multas alias emendationes hauſtas eſſe conſtat. Nam, *Mihi tandem*, inquit, *coniectura videor aſſequutus genuinam huius loci ſcripturam: vt nimirum ex* μεμφθῇς *faciamus, non* μεμφθῇς, *ſed* (*ſunt enim* δεύτερα φροντίδες σο-

τέραν ὁδὸν ἥτις τότε ἦν, ἐπὶ τὸν τῆ βασιλέως ὄρον αὐτός σοι πρότερον ἔλθω. ΣΩ. Σφόδρα γε. ΞΕ. Λέγω δὴ δεῖν τότε εὐθὺς τὸ πεζὸν τῷ δίποδι πρὸς τετράπουν γένος διανεῖμαι· κατιδόντα δὲ τἀνθρώπινον ἔτι μόνῳ τῷ πτηνῷ ξυνειληχὸς τὴν δίποδα ἀγέλην πάλιν τῷ ψιλῷ καὶ τῷ πτεροφυεῖ τέμνειν. τμηθείσης δὲ αὐτῆς, καὶ τότ' ἤδη τῆς ἀνθρωπονομικῆς δηλωθείσης τέχνης, Φέροντα τὸν πολιτικὸν καὶ βασιλικὸν, εἶον ἠνίσχον, εἰς αὐτὴν ἐνσήσαντα παραδῦναι τὰς τῆς πόλεως ἡνίας, ὡς οἰκείας αὐτῷ ταύτης ἔσης τῆς ἐπιστήμης. ΣΩ. Καλῶς, καὶ καθαπερεὶ χρέος [10] ἀποδέδωκάς μοι τὸν λόγον, προσθεὶς τὴν ἐκτροπὴν, οἷον τόκον, καὶ ἀναπληρώσας
10 αὐτόν. ΞΕ. Φέρε δὴ καὶ ξυνείρωμεν, ἐπανελθόντες ἐπὶ τὴν ἀρχὴν μέχρι τῆς τελευτῆς, τὸν λόγον τῆ ὀνόματος τῆς τῆ πολιτικῆ τέχνης. ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Τῆς γνωστικῆς τοίνυν ἐπιστήμης ἡμῖν ἦν κατ' ἀρχὰς [1] μέρος, ἐπιτακτικόν· τότε δὲ ἀπεικασθὲν τὸ μέριον, αὐτεπίτακτον ἐρρήθη. ζωοτροφικὴ δὲ πάλιν αὐτεπιτακτικῆς, ἃ τὸ σμικρότατον τῶν γενῶν, ἀπεσχίζετο· καὶ ζωοτροφικῆς εἶδος ἀγελαιοτρο-

σοφώτερον) με φθῇς· *ita legendo hunc locum, ἵνα μή με φθῇς ἐρωτήσας* —. *Ac ne quis huic meae coniecturae assentiri recuset* —. Ita infra f. 33 *σμικρόν γε ἔφθης με ἐρόμενος.*

16. Sic scriptum legitur hoc nomen in omnibus libris editis. At ex obseruatione Eustathii et Moeridis scribi debet *χρέως*. nam Moeris quidem, *χρέως*, inquit, 'Αττικῶς· διὰ τῆ ῶ μεγάλη· διὰ τῆ ο μικρῆ, Ἕλληνες· sed Eustathius ad Il. υ', 746 p. 958 Rom. haec praecipit, ex Rhetorico quodam Lexico, τὸ δὲ πρωτότυπον χρέος ὅτι καὶ ἐκτάνεται καὶ συστέλλεται, δηλοῖ ὁ ὕστερον γράψας ἐν Ῥητορικῷ Λεξικῷ· χρέως 'Αττικοὶ καὶ Ἴωνες, ὡς Πλάτων καὶ Δημοσθένης, διὰ τῆ ῶ δηλαδὴ μεγάλη· λέγουσι δέ φησι καὶ χρέος, ἐν συστολῇ δηλονότι.

1. Ald. Bas. 1. 2 καταρχάς.

τροφικόν· ἀγελαιοτροφικῆ δ' αὖ, πεζονομικόν. τῆ δὲ πεζονομικῆ μάλιστα ἀπετέμνετο τέχνη τῆς ἀκεράτου φύσεως θρεπτική. ταύτης δ' αὖ τὸ μέρος, ἐκ ἔλαττον τριπλῆ, συμπλέκειν ἀναγκαῖον, ἂν εἰς ἕν τις αὐτὸ ὄνομα ξυνάγειν βληθῇ, γενέσεως ἀ μικτῆ [2] νομευτικῆς ἐπιστήμην προσαγορεύων. τὸ δ' ἀπὸ τούτου τμῆμα, ἐπὶ ποίμνῃ δίποδι μέρος ἀνθρωπονομικόν, ἔτι λειφθὲν μόνον, τοῦτ' αὐτὸ ἐστὶν ἤδη τὸ ζητηθέν, ἅμα βασιλικὸν ταυτὸν κληθὲν καὶ πολιτικόν. ΣΩ. Παντάπασι μὲν ἕν. ΞΕ. Ἆρα γ', ὦ Σώκρατες, ἀληθῶς ἡμῖν τοῦτο, καθάπερ σὺ νῦν εἴρηκας, ὅτως ἐστὶ καὶ πεπραγμένον; ΣΩ. Τὸ ποῖον δή; ΞΕ. Τὸ παντάπασι καὶ ἱκανῶς εἰρῆσθαι τὸ προτεθέν. ἢ τοῦτ' αὐτὸ [3] καὶ μάλιστα ἡ ζήτησις ἐλλείπει, τὸ τὸν λόγον εἰρῆσθαι μέν πως, ἀ μὴν παντάπασί γε τελέως ἀπειργάσθαι; ΣΩ. Πῶς εἶπες; ΞΕ. Ἐγὼ νῦν πειράσομαι τοῦτ' αὐτὸ ὃ διανοοῦμαι, νῦν ἔτι μᾶλλον δηλῶσαι. ΣΩ. Λέγοις ἄν. ΞΕ. Οὐκοῦν τῶν νομευτικῶν ἡμῖν πολλῶν φανεισῶν ἄρτι τεχνῶν, μία τις ἦν ἡ πολιτική, καὶ μιᾶς τινος ἀγέλης ἐπιμέλεια. ΣΩ. Ναί. ΞΕ. Ταύτην δέ γε διώριζεν ὁ λόγος ἐκ ἵππων [4] εἶναι τροφὸν, οὐδ' ἄλλων θηρίων, ἀλλ' ἀνθρώπων κοινοτροφικὴν ἐπιστήμην. ΣΩ. Οὕτω ΞΕ. Τὸ δὴ τῶν νομέων πάντων διάφορον καὶ τὸ τῶν βασιλέων θεασώμεθα. [1] ΣΩ. Τὸ 11

Η 5 ποῖον;

2. Stephanus, *Videri posset*, inquit, *nomen γενέσεως mutandum in γένους, nisi talis usus nominis illius alibi extaret: sed μικτῆ pro μικτῇ; suspectum non immerito fortasse fuerit.* Mihi vero non suspectum est, quum sciam, Atticos solere huiusmodi Adiectiuis vti vtroque in genere, ita vt dicant ὁ et ἡ μικτός. Vid. omnino Animaduerss. ad Vueller. p. 136 ff.

3. Francof. αὐτός· vitiose.

4. Ald. ἵππον· mendose.

1. Ald. Bas. 1. 2 θεασόμεθα. At Ficinus, *videamus*.

ποῖον; ΞΕ. Εἴτις τῶν ἄλλων τὸ τέχνης ἄλλης ὄνομα ἔχων, κοινῇ τῆς ἀγέλης ξύντροφος εἶναι φησὶ καὶ προσποιεῖται. [2] ΣΩ. Πῶς φῄς; ΞΕ. Οἷον οἱ ἔμποροι, καὶ γεωργοί, καὶ σιτοργοὶ πάντες, καὶ πρὸς τούτοις γυμναστικὴ, καὶ τὸ τῶν ἰατρῶν γένος, εἰσθ' ὅτι τοῖς περὶ τὰ ἀνθρώπινα νομεῦσιν. ἃς πολιτικὰς ἐκαλέσαμεν, παντάπασι τῷ λόγῳ διαμάχοιντ' ἂν ἅπαντες, ὡς σφᾶς τῆς τροφῆς ἐπιμελοῦνται τῆς ἀνθρωπίνης, ἃ μόνον ἀγελαίων ἀνθρώπων, ἀλλὰ καὶ τῆς τῶν ἀρχόντων αὐτῶν. ΣΩ. Οὐκοῦν ὀρθῶς ἂν λέγοιεν; ΞΕ. Ἴσως. [3] καὶ τοῦτο μὲν ἐπισκεψώμεθα. [4] τόδε δὲ ἴστωμεν, ὅτι τῷ βουκόλῳ γε οὐδεὶς ἀμφισβητεῖται [5] περὶ τούτων οὐδενός· ἀλλ' αὐτὸς τῆς ἀγέλης τροφὸς ὁ βουφορβὸς, αὐτὸς ἰατρὸς, αὐτὸς οἷον νυμφευτής· [6] καὶ περὶ τὰς τῶν γιγνομένων τόκους καὶ λοχείας [7] μόνος ἐπιστήμων τῆς μαιευτικῆς. [8] ἔτι τοίνυν παιδιᾶς καὶ μουσικῆς ἐφ' ὅσον αὐτῷ τὰ θρέμματα φύσει μετείληφεν, οὐκ ἄλλος [9] κρείττων παραμυθεῖσθαι καὶ κηλῶν πραΰνειν, μετά γε ὀργάνων καὶ ψιλῷ τῷ σώματι τὴν τῆς αὐτοῦ [10] ποίμνης ἄρισα μεταχειριζόμενος μουσικήν. καὶ δὴ καὶ τῶν ἄλλων πέρι νομέων ὁ αὐτὸς τρόπος. ἦ γάρ; * ΣΩ. Ὀρ-

2. Baf. 2 προσποιεῖσθαι· male.

3. Ald. οὐκοῦν ὀρθῶς ἂν, λέγοιεν ἴσως. ΞΕ. male. Etiam Ficinus in Verfione reddidit alterum verborum ordinem.

4. Baf. 1. 2 ἐπισκεψάμεθα· mendoſe.

5. Marg. Steph. *Alias* ἀμφισβητήσει· *quod malo: aut certe* ἀμφισβητᾷ. Ficinus ſcilicet legiſſe videtur ἀμφισβητᾷ, vertit, *certat.* Sed magis placet ἀμφισβητήσει· quae eſt Baſ. 2 lectio.

6. Pollux 3, 40 ὁ δὲ καλούμενος παρανύμφιος, νυμφευτὴς ὀνομάζεται.

7. Pollux 4, 208 λοχεία, ἡ τῶν τεκόντων ἐπιμέλεια.

8. Pollux 4, 208 μαιευτικὴ, ἡ τέχνη.

9. Baf. 2 ἄλλως· mendoſe.

10. Ald. Baſ. 1. 2 αὐτοῦ.

* Timaeus Gloſſ. ἦ γάρ· ἐχ ἔτως.

Ὀρθότατα. ΞΕ. Πῶς ἔν ἡμῖν ὁ λόγος ὀρθὸς φανεῖται καὶ ἀκέραιος [11] ὁ περὶ τοῦ βασιλέως, ὅταν αὐτὸν νομέα καὶ τροφὸν ἀγέλης ἀνθρωπίνης φῶμεν, [12] μόνον ἐκκρίνοντες, μυρίων ἄλλων ἀμφισβητούντων; ΣΩ. Οὐδαμῶς. ΞΕ. Οὐκοῦν ὀρθῶς ὀλίγον ἔμπροσθεν ἐφοβήθημεν, ὑποπτεύσαντες μὴ λέγοντες μέν τι τυγχάνοιμεν σχῆμα βασιλικόν, ἃ μὴν ἀπειργασμένοι γε ἦμεν [13] πω δι' ἀκριβείας τὸν πολιτικόν, ἕως ἂν τὸ περικεχυμένον αὐτῷ, καὶ τῆς συννομικῆς αὐτῷ ἀντιποιουμένης, περιελόντες [14] καὶ χωρίσαντες ἀπ' ἐκείνων, καθαρὸν μόνον αὐτὸν ἀποφήνωμεν. ΣΩ. Ὀρθότατα μὲν ἔν. ΞΕ. Τοῦτο τοίνυν, ὦ Σώκρατες, ἡμῖν ποιητέον, εἰ μὴ μέλλοιμεν ἐπὶ τῷ τέλει καταισχύνειν τὸν λόγον. ΣΩ. Ἀλλὰ μὴν ἀδαμῶς τοῦτό γε δρασέον. ΞΕ. Πάλιν τοίνυν ἐξ 12
ἄλλης ἀρχῆς δεῖ καθ' ἑτέραν ὁδὸν πορευθῆναι τινά. ΣΩ. Ποίαν δή; ΞΕ. Σχεδὸν παιδιὰν [1] ἐγκερασαμένους. συχνῷ γὰρ μέρει δεῖ μεγάλου μύθου προσχρήσασθαι, καὶ τὸ λοιπὸν δή, καθάπερ ἐν τοῖς πρόσθεν, μέρος ἀεὶ μέρους ἀφαιρουμένους, ἐπ' ἄκρον ἀφι-

11. Marg. Steph. *Legitur etiam* ἀκριβὴς nimirum in Ε. f. 2. At Ficinus quoque legit ἀκέραιος. vertit enim, *integer*. Atque haec lectio haud dubie vera est, quum ἀκέραιος exquisitius sit elegantiusque dictum, quam ἀκριβής. Timaeus: ἀκέραιοι οἱ ἔξω κηρός· vbi v. Ruhnquenius.

12. Marg. Steph. *Est et alia lectio* θῶμεν· *quam sequitur Ficinus, eodem manente sensu*. recte. nam Versio Ficini habet, *ponimus*: et in Baf. 2 diserte scriptum est θῶμεν.

13. Marg. Steph. *Repono* ἦμεν, *quod sit per syncopen dictum pro* ἄμεν· *et conueniat cum* τυγχάνοιμεν. recte, opinor.

14. Ald. περιελόγοντες, Baf. 1 περιλέγοντες. Sed in Baf. 2 est περιελόντες. recte. Ficinus vertit, *comprehendamus*.

1. Ald. Baf. 1 πεδιάν· vitiose.

ἀφικνεῖσθαι τὸ ζητέμενον. ἔκαν [2] χρή; ΣΩ. Πάνυ μὲν ἕν. ΞΕ. Ἀλλὰ δὴ τῷ μύθῳ πε πάνυ πρόσεχε τὸν νᾶν, καθάπερ οἱ παῖδες. πάντως ἐ πολλὰ ἐκφεύγεις παιδιᾶς [3] ἔτη. ΣΩ. Λέγοις ἄν. ΞΕ. Ἦν τοίνυν καὶ ἔτι ἔσαι τῶν πάλαι λεχθέντων πολλά τε ἄλλα, καὶ δὴ καὶ τὸ περὶ τὴν Ἀτρέως τε καὶ Θυέστε λεχθεῖσαν ἔριν φάσμα. [4] ἀκήκοας γάρ πε καὶ ἀπεμνημονεύεις ὅ φασι γενέσθαι τότε. ΣΩ. Τὸ περὶ τῆς χρυσῆς ἀρνὸς ἴσως σημεῖον φράζεις. ΞΕ. Οὐδαμῶς· ἀλλὰ τὸ περὶ τῆς μεταβολῆς δύσεώς τε καὶ ἀνατολῆς ἡλίε καὶ τῶν ἄλλων ἄστρων· ὡς ἄρα ὅθεν μὲν ἀνατέλλει νῦν. εἰς τοῦτον τότε τὸν τόπον ἐδύετο, ἀνέτελλε δ' ἐκ τοῦ ἐναντίε. τότε δὲ δὴ μαρτυρήσας ἄρα ὁ θεὸς Ἀτρεῖ, μετέβαλεν [5] αὐτὸ ἐπὶ τὸ νῦν σχῆμα. ΣΩ. Λέγεται γὰρ ἕν δὴ καὶ τοῦτο. ΞΕ. Καὶ μὴν αὖ καὶ τήν γε βασιλείαν ἣν ἦρξε Κρόνος, [6] πολλῶν ἀκηκόαμεν. ΣΩ. Πλείσων μὲν ἕν. ΞΕ. Τί δὲ, τὸ τὰς ἔμπροσθεν, φύεσθαι γηγενεῖς, καὶ μὴ ἐξ ἀλλήλων [7] γεννᾶσθαι; ΣΩ. Καὶ τοῦτο, ἓν τῶν πά-

2. Ita reſcripſimus, ex Ald. Baſ. 1. 2, pro ἐκεῖν, quod eſt in exemplo Stephaniano.

3. Ita ſcriptum extat in Ald. Baſ. 1. 2. Sed emendari debet, vt Stephanus rectiſſime monuit, παιδίας. nam παιδιὰ eſt *ludus*, *iocus*: ſed παιδία *pueritia*. Idem Stephanus videri poſſe ait deeſſe particulam γὰρ poſt πάντως, ſic tamen, vt ferri etiam lectio altera poſſit, nulla interiecta particula. recte. Sed vt ita cenſeret, adductus videtur Latina Verſione Ficini, in qua eſt, *neque* enim *a puerilibus annis procul abes*.

4. Vid. Euripides Oreſt. Actu tertio extremo, ibique ſchol.

5. Ald. Baſ. 1 μετέβαλλεν· male.

6. Vid. Heſiodus Ἐργ. 108 ſſ.

7. Ald. Baſ. 1. 2 ἀδήλων· quod Cornarius in Eclogis monuit mutandum eſſe in ἀλλήλων, vt ipſe iam Ficinus legit. vertit enim, *e terra pro-*

πάλαι λεχθέντων. ΞΕ. Ταῦτα τοίνυν ἔστι μὲν ξύμπαντα ἐκ ταυτῆ πάθους καὶ πρὸς τούτοις ἕτερα μυρία, καὶ τούτων ἔτι θαυμαστότερα· διὰ δὲ χρόνου πλῆθος, τὰ μὲν αὐτῶν ἀπέσβηκε, [8] τὰ δὲ, διεσπαρμένα εἴρηται χωρὶς ἕκαστα ἀπ' ἀλλήλων. ὃ δ' ἐστὶ πᾶσι τούτοις αἴτιον τὸ πάθος, ἐδεὶς εἴρηκε· νῦν δὲ δὴ λεκτέον. εἰς γὰρ τὴν τῆ βασιλέως ἀπόδειξιν πρέψει ἐηθέν. ΣΩ. Καλῶς ἔπες· καὶ λέγε, μηδὲν ἐλλεί- 13
πων. ΞΕ. Ἀκόσις ἄν. τὸ γὰρ [1] πᾶν τόδε τοτὲ [2] μὲν αὐτὸς ὁ θεὸς ξυμποδηγεῖ πορευόμενον [3] καὶ συγκυκλεῖ· τοτὲ δ' ἀνῆκεν, ὅταν αἱ περίοδοι τῆ προσήκοντος αὐτῷ μέτρου εἰλήφασιν [4] ἤδη χρόνου. τὸ δὲ, [5] πάλιν αὐτόματον εἰς τἀναντία περιάγεται, ζῷον ὂν,

procreari, haud vero ex se inuicem, rectissime: vt f. 15. De re ipsa vid. Hesiod Θεογ. 183 ff.

8. Suidas: Ἀπέσβη· ἐσβέσθη, ἢ ἐπαύσατο, τέθνηκεν. Ἀπέσβηκε λέγουσι τὸ ἀπεσβέσθη, οἵ τε ἄλλοι, καὶ Πλάτων Πολιτικῷ. Timaeus: ἀπέσβη· τέθνηκεν· quam glossam Ruhnquenius putabat ex hoc loco sumtam esse, ita vt Timaeus ἀπέσβη legisse videretur, non ἀπέσβηκε. recte. Sed si glossa sit Platonica, neque aliena; inferendum arbitror e Suida ἐπαύσατο ante τέθνηκεν, vt glossema respondeat glossae.

1. Hic locus, inde a verbis τὸ γὰρ πᾶν vsque ad verba γίγνηται τροπή f. 14, habetur ap. Eusebium Praep. Euang. 11, 32 p. 559 ff.

2. Ald. τὸ τὲ — τὸ τὲ φ ἀνῆκεν.

3. Euseb. πορευόμενος· minus bene. Mox ξυνκυκλᾶ. recte. Caeterum laudatur hic ipse locus a Demetrio Phalereo περὶ ἑρμ. f. 5 ita, Τὸ γὰρ δὴ πᾶν τόδε, τοτὲ μὲν αὐτὸς ὁ θεὸς πορευόμενον ξυμποδηγεῖ καὶ συγκυκλᾶ. Ita Victorius edidit, et post eum alii. recte. nam Aldus dederat πορευόμενός ποδηγεῖ. Δὴ non dubium est, quin recipi debeat in libros Platonis. Caeterum Demetrius attulit haec verba, vt doceret, vti licere longiusculis etiam membris, postulante rerum magnitudine.

4. Euseb. ἐλήφασιν· recte.

5. Euseb. τοτὲ δέ.

ἓν, καὶ Φρόνησιν εἰληχὸς [6] ἐκ τοῦ συναρμόσαντος αὐτὸ κατ' ἀρχάς. τοῦτο δὲ αὐτῷ τὸ ἀναπαλιν ἰέναι, διὰ τόδ' ἐξ ἀνάγκης ἔμφυτον γέγονε. ΣΩ. Διὰ τὸ ποῖον δή; ΞΕ. Τὸ κατὰ ταυτὰ [7] καὶ ὡσαύτως ἔχειν ἀεὶ, καὶ ταυτὸν εἶναι, τοῖς πάντων θειοτάτοις [8] προσήκει μόνοις· σώματος δὲ φύσις, ἃ ταύτης τῆς τάξεως. ὃν δὴ [9] οὐρανὸν καὶ κόσμον ἐπωνομάκαμεν, πολλῶν μὲν καὶ μακαρίων παρὰ τοῦ γεννήσαντος μετείληφεν, ἀτὰρ ἓν δὴ κεκοινώνηκέ γε καὶ σώματος. ἔσθεν αὐτῷ μεταβολῆς ἀμοίρῳ γίγνεσθαι [10] διαπαντὸς ἀδύνατον. κατὰ δύναμίν γε μὴν ὁτιμάλιστα [11] ἐν τῷ αὐτῷ κατὰ ταυτὰ [12] μίαν φορὰν κινεῖται. διὸ τὴν ἀνακύκλησιν εἴληχεν, ὁτισμικροτάτην [13] τῆς αὐτοῦ [14] κινήσεως παράλλαξιν. αὐτὸ δὲ ἑαυτὸ στρέφειν ἀεὶ, σχεδὸν ἁδενὶ δυνατὸν πλὴν τῷ τῶν κινουμένων πάντων ἡγεμόνῳ. [15] κινεῖν δὲ τοῦτῳ [16] τοτὲ μὲν ἄλλως, αὖθις δὲ ἐναντίως, ἃ θέμις. ἐκ πάντων δὴ τούτων, τὸν κόσμον μήτε αὐτὸν χρὴ φάναι στρέφειν ἑαυτὸν ἀεὶ, μήτ' αὖ ὅλον [17] ἀεὶ ὑπὸ θεοῦ στρέφεσθαι, διττὰς

6. Euseb. ἐληφὸς — ξυναρμόσαντος — τὸ πάλιν — τόδε — γεγονένοι· sed Cod. MS. Eusebii γέγονε. recte, etiam Vigero iudice.

7. Euseb. κατὰ τὰ αὐτά.

8. Ald. Bas. 1. 2 θεοτάτοις.

9. Euseb. δή.

10. Euseb. γίνεσθαι.

11. Euseb. Ald. Bas. 1, 2 ὅτι μάλιστα. Mox Euseb. διότι pro διό.

12. Ald. Bas. 1. 2 ταῦτα. At Ficinus, *secundum eadem.* recte. Etiam Euseb. τὰ αὐτά.

13. Euseb. Ald. Bas. 1. 2 ὅτι σμικροτάτην.

14. Ald. Bas. 1. 2 αὐτοῦ. Euseb. ἑαυτοῦ.

15. Bas. 2 πάντων αὖ ἡγεμένῳ. Euseb. κινεμένων αὖ πάντων. recte.

16. Euseb. τοῦτο τι — αὖθις δ' ἐν.

17. Ald. Bas. 1 ὅσον· sed Cornarius rescribendum docuit in Eclogis ὅλον· quae lectio est in Bas. 2, expressa etiam a Ficino. recte. Idem Cornarius in aliquibus libris esse ait ἄλλον· quam tamen lectionem reperire

τὰς καὶ ἐναντίας περιαγωγάς· μήτ' αὖ δύο τινὲ [18] θεὼ, φρονῆντε ἑαυτοῖς ἐναντία, στρέφειν αὐτόν, ἀλλ' ὅπερ ἄρτι ἐρρήθη, [19] καὶ μόνον λοιπόν· τοτὲ μὲν ὑπ' ἄλλης ξυμποδηγεῖσθαι θείας αἰτίας, τὸ ζῆν, πάλιν ἐπικτώμενον, καὶ λαμβάνοντα ἀθανασίαν ἐπισκευασὴν παρὰ τῆ δημιυργῆ· τοτὲ δ' ὅταν ἀνεθῆ, δι' ἑαυτὸν ἰέναι, [20] κατὰ καιρὸν ἀφεθέντα, τοιῆτον ὥστε ἀνάπαλιν πορεύεσθαι πολλὰς περιόδων μυριάδας, διὰ τὸ, μέγιστον ὂν καὶ ἰσορροπώτατον, ἐπὶ σμικροτάτῳ βαῖνον ποδὸς ἰέναι. ΣΩ. Φαίνεταί γ' ἦν [1] δὴ καὶ μάλα εἰκότως εἰρῆσθαι πάνθ' ὅσα διελήλυθας. [22] ΞΕ. Λογισάμενοι δὴ ξυννοήσωμεν [1] τὸ πάθος ἐκ τῶν νῦν λεχθέντων, ὃ πάντων ἔφαμεν εἶναι τῶν θαυμασῶν αἴτιον. ἔστι γὰρ ἦν δὴ τῆτ' αὐτό. ΣΩ. Τὸ ποῖον; ΞΕ. Τὸ τὴν τῆ παντὸς φορὰν τοτὲ μὲν, ἐφ' ἃ νῦν κυκλεῖται, φέρεσθαι, τοτὲ δ' ἐπὶ τἀναντία. ΣΩ. Πῶς δή; ΞΕ. Ταύτην τὴν μεταβολὴν ἡγεῖσθαι δεῖ τῶν περὶ τὸν ἀρανὸν γιγνομένων [2] τροπῶν [3] πασῶν εἶναι μεγίστην καὶ τελειοτάτην τροπήν. ΣΩ. Ἔοικε γᾶν. ΞΕ. [4] Μεγίστας τοίνυν καὶ μεταβολὰς χρὴ νομίζειν γίγνεσθαι τότε τοῖς ἐντὸς ἡμῖν 14

perire nuſpiam potuimus. nam etiam ap. Euſeb. μηδ' ὅλον legitur.

18. Euſeb. τινε δύο — αὐτοῖς ἐναντία.

19. Euſeb. ἐῤῥέθη — ξυμποδηγᾶσθαι — ἀνεθῆ —: ex quo correximus ξυμποδ. quum in Ald. Baſ. 1. 2, Steph. ſit συμποδ.

20. Ald. Baſ. 1. 2 δι' ἑαυτὸν αὐτὸν ἰέναι. Euſeb. δι' ἑαυτῆ αὐτὸν ἰέναι. recte.

21. Euſeb. γᾶν — πάντα ὅσα.

22. Baſ. 2 διελήθυσας' operarum neglegentia.

1. Ald. Baſ. 1, 2 ξυννοήσομεν. male. Euſeb. λογισάμενοι δὴ ξυννοήσωμεν. bene.

2. Euſeb. γινομένων.

3. Ald. Baſ. 1. 2 τρέπων.

4. In exemplo Stephaniano deeſt ΞΕ.: quod recepimus ex reliquis libris, re ipſa iubente.

ἡμῖν οἰκεῖσιν αὐτῷ. ΣΩ. Καὶ τοῦτο[5] εἰκός. ΞΕ. Μεταβολὰς δὲ μεγάλας καὶ πολλὰς καὶ παντοίας συμφερομένας[6] ἆρ' ἐκ ἴσμεν τὴν τῶν ζώων φύσιν ὅτι χαλεπῶς ἀνέχεται; ΣΩ. Πῶς δ' οὔ; ΞΕ. Φθορὰ τοίνυν ἐξ ἀνάγκης τότε μέγιστα συμβαίνοσι τῶν τε ἄλλων ζώων, καὶ δὴ καὶ τὸ τῶν ἀνθρώπων γένος ὀλίγον τι περιλείπεται. περὶ δὲ τούτους ἄλλά τε παθήματα πολλὰ καὶ θαυμαστὰ καὶ καινὰ συμπίπτει,[7] μέγιστον δὲ τόδε, καὶ συνεπόμενον τῇ τοῦ παντὸς ἀνελίξει, τότε ὅταν ἡ τῆς νῦν καθεστηκύιας ἐναντία γίγνηται τροπή. ΣΩ. Τὸ ποῖον; ΞΕ. Ἣν ἡλικίαν ἕκαστον εἶχε τῶν ζώων, αὕτη πρῶτον μὲν ἔστη πάντων, καὶ ἐπαύσατο πᾶν ὅσον ἦν θνητὸν, ἐπὶ τὸ γεραίτερον ἰδεῖν πορευόμενον· μεταβάλλον δὲ πάλιν ἐπὶ τἐναντίον, οἷον νεώτερον καὶ ἁπαλώτερον ἐφύετο. καὶ τῶν μὲν πρεσβυτέρων αἱ λευκαὶ τρίχες ἐμελαίνοντο, τῶν δ' αὖ γενειώντων αἱ παρειαὶ λεαινόμεναι, πάλιν ἐπὶ τὴν παρελθοῦσαν ὥραν ἕκαστον καθέστασαν.[8] τῶν τε ἡβώντων τὰ σώματα λεαινόμενα καὶ σμικρότερα καθ' ἡμέραν ἑκάστην καὶ νύκτα γιγνόμενα, πάλιν εἰς τὴν τοῦ νεογενοῦς παιδὸς φύσιν ἀπήει, κατά τε[9] τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα ἀφομοιούμενα. τὸ δ' ἐντεῦθεν ἤδη μαραινόμενα κομιδῇ, τοπάμπαν[10] ἐξηφανίζετο. τῶν δ' αὖ βιαίως τελευτώντων ἐν τῷ τότε χρόνῳ, τὸ τοῦ νεκροῦ σῶμα ταυ-

5. Euseb. τοῦτ' — μεταβολὰς δέ γε. recte. Mox πολλὰς ἢ μεγάλας. male.

6. Euseb. ξυμφερομένας. bene.

7. Euseb. ξυμπίπτει — ξυνεπόμενον. recte.

8. Stephanus recte animaduertit, aut ἑκάστου reponendum esse, aut καθέσασαν mutandum in καθίσασαν, vt sit Actiua significatio. Atque haec posterior ratio verissima est.

9. In Ald. Bas. 1 deest τε' quam tamen particulam etiam Ficinus reddidit.

10. Ald. Bas. 1. 2 τὸ πάμπαν.

ταυτὰ ταῦτα πάσχον παθήματα διὰ τέλους, [11] ἄδηλον ἐν ὀλίγαις ἡμέραις διεφθείρετο. ΣΩ. Γένεσις δὲ δὴ [1] τίς τότ' ἦν, ὦ ξένε, ζώων; καὶ τίνα τρόπον ἐξ ἀλλήλων ἐγεννῶντο; ΞΕ. Δῆλον, ὦ Σώκρατες, ὅτι τὸ μὲν ἐξ ἀλλήλων οὐκ ἦν ἐν τῇ τότε φύσει γενόμενον· τὸ δὲ γηγενὲς εἶναί ποτε γένος λεχθὲν, τοῦτ' ἦν τὸ κατ' ἐκεῖνον τὸν χρόνον ἐκ γῆς πάλιν ἀναφερόμενον. ἀπεμνημονεύετο δὲ ὑπὸ τῶν ἡμετέρων προγόνων τῶν πρώτων, οἳ τελευτώσῃ μὲν τῇ προτέρᾳ [2] περιφορᾷ τὸν ἐξῆς χρόνον ἐγειτόνευν, τῆσδε δὲ κατ' ἀρχὰς ἐφύοντο· τούτων γὰρ ἕτοι κήρυκες ἐγένοντ' [3] ἡμῖν τῶν λόγων, οἳ νῦν ὑπὸ πολλῶν οὐκ ὀρθῶς ἀπιστοῦνται. τὸ γὰρ ἐντεῦθεν, οἶμαι, χρὴ ξυννοεῖν. ἐχόμενον γάρ ἐστι τῷ τὸν πρεσβύτας ἐπὶ τὴν τῶν παιδὸς ἰέναι φύσιν, ἐκ τῶν τετελευτηκότων αὖ, κειμένων δὲ [4] ἐν γῇ, πάλιν ἐκεῖ ξυνισαμένους, καὶ ἀναβιωσκομένους, ἕπεσθαι τῇ τροπῇ, συνανακυκλουμένης εἰς τἀναντία τῆς γενέσεως· καὶ γηγενεῖς δὴ [5] κατὰ τοῦτον τὸν λόγον [6] ἐξ ἀνάγκης φυομένους,

11. Marg. Steph. *Legitur etiam* διὰ τάχους *pro* διὰ τέλους. Nempe in Baſ. 2, qui liber diſerte ſcriptum exhibet διατάχους, rectius, vt opinor. Ficinus quoque expreſſiſſe videtur eandem lectionem, alieno quamuis loco, vertit, *Cadauera praeterea illorum, qui caeleſtis mutatione vertiginis ſubito corruerunt, idem patiuntur.*

1. Hunc locum habet Euſebius Praep. Euang. 11, 33 p. 561 inde ab his verbis vſque ad verba ἔπεσθαι τοῖς ἔμπροσθεν· ſed legit, γένεσις δὲ τίς.

2. Euſeb. τελευταίᾳ. Sed altera lectio eſt melior et ſignificantior, iudice Vigero.

3. Euſeb. ἐγίνονθ'.

4. Euſeb. δ' — συνις. male. Sed mox ξυνανακυκλ. bene.

5. Euſeb. δέ. non male.

6. Stephanus coni. κατὰ τὸν λόγον. male, vt opinor. Nam ξένος ait, tales homines nominari propterea γηγενεῖς, et ferri e terra natos.

μένας, ἅτως ἔχειν τἄνομα καὶ τὸν λόγον,[7] ὅσας μὴ θεὸς αὐτῶν εἰς ἄλλην μοῖραν ἐκόσμησε.[8] ΣΩ. Κομιδῇ[9] μεν ἓν τοῦτό γε ἕπεται τοῖς ἔμπροσθεν. ἀλλὰ δὴ τὸν βίον, ὃν ἐπὶ τῆς Κρόνου φῆς εἶναι δυνάμεως,[10] πότερον ἐν ἐκείναις ἦν ταῖς τροπαῖς, ἢ ἐν ταῖσδε; τὴν μὲν γὰρ τῶν ἄστρων τε καὶ ἡλίου μεταβολὴν δῆλον ὡς ἐν ἑκατέραις συμπίπτει ταῖς τροπαῖς γίγνεσθαι. ΞΕ. Καλῶς τῷ λόγῳ συμπαρηκολούθηκας. ὁ δ' ἦρξ[11] περὶ τὰ πάντα αὐτόματα γίγνεσθαι τοῖς ἀνθρώποις, ἦκισα τῆς νῦν ἐσὶ καθεσηκύιας Φορᾶς, ἀλλ' ἦν καὶ τοῦτο τῆς ἔμπροσθεν. τότε γὰρ αὐτῆς πρῶτον τῆς κυκλήσεως ἦρχεν ἐπιμελέμενος ὅλης ὁ θεὸς, ὡς νῦν κατὰ τόπους ταυτὸν τοῦτο[12] ὑπὸ θεῶν ἀρχόντων πάντα τὰ τοῦ κόσμου μέρη διειλημμένα. καὶ δὴ καὶ τὰ ζῶα κατὰ γένη καὶ ἀγέλας οἷον νομεῖς θεῖοι[13] διειλήφεσαν δαίμονες, αὐτάρ-

7. Euseb. τρόπον.

8. Marg. Steph. *Quidam vet.* ἐκόμισε. *Ficini interpretatio vtramque lectionem complectitur*, Quotcunque deus ipsorum in aliam formam non transtulit exornavitque. Scilicet ἐκόμισε legitur in Bas. 2: et e Versione Ficini Latina cognoscitur, eum in Codice suo scriptum inuenisse ἐκόμισε καὶ ἐκόσμησε, atque adeo in libris nonnullis olim fuisse ἐκόμισε, in aliis ἐκόσμησε· quas duas lectiones coniunxit is, qui descripsit Codicem, quo Ficinus vsus est, inserta etiam particula καὶ· quam rationem non novam esse, non fugit harum litterarum peritos. Etiam ap. Eusebium est ἐκόμισε.

9. Ald. Μομιδῇ· quod est operarum peccatum.

10. Marg. Steph. *Pro* δυνάμεως *legitur etiam* δυναστείας· *quod malo.* Nimirum in Bas. 2. Etiam Ficinus ita legit haud dubie. vertit, *sub Saturni regno.*

11. Ald. Bas. 1. 2 ἦρξ· vitiose.

12. Stephanus κατὰ ταυτὸν τοῦτο legendum putabat, aut dicendum ταυτὸν irrepsisse pro alio verbo.

13. Hoc verbum Stephano videbatur iungi etiam posse cum nomine δαίμονες. Non assentior: et ipse Stephanus

αὐτάρκης εἰς πάντα ἕκαστος ἑκάστοις ὢν οἷς αὐτὸς ἔνεμεν. ὥστε ἔτ' ἄγριον ἦν οὐδέν, ἔτε ἀλλήλων ἐδωδαί. πόλεμός τε οὐκ ἐνῆν, οὐδὲ στάσις τοπαράπαν· ἄλλά θ' ὅσα τῆς τοιαύτης ἐστὶ κατακοσμήσεως ἑπόμενα, μυρία ἂν εἴη λέγειν. τὸ δ' ἓν τῶν ἀνθρώπων λεχθὲν αὐτομάτῳ πέρι βίῳ, διὰ τὸ τοιόνδε εἴρηται· θεὸς ἔνεμεν αὐτὸς, αὐτὸς ἐπισατῶν· καθάπερ νῦν ἄνθρωποι, ζῷον ὂν ἕτερον θειότερον, ἄλλα γένη φαυλότερα αὐτῶν νομεύσι. νέμοντος δὲ ἐκείνῳ, πολιτεῖαί τε [14] ἐκ ἦσαν, οὐδὲ κτήσεις γυναικῶν καὶ παίδων. ἐκ γῆς γὰρ ἀνεβιώσκοντο πάντες, οὐδὲν μεμνημένοι τῶν πρόσθεν. ἀλλὰ τὰ μὲν τοιαῦτα ἀπῆν πάντα· καρπὸς δὲ ἀφθόνως εἶχον ἀπό τε δρυῶν καὶ πολλῆς ὕλης ἄλλης, οὐχ ὑπὸ γεωργίας φυομένης, ἀλλ' αὐτομάτης ἀναδιδόσης τῆς γῆς. γυμνοὶ δὲ καὶ ἄστρωτοι θυραυλοῦντες [15] τὰ πολλὰ ἐνέμοντο. τὸ γὰρ τῶν ὡρῶν αὐτοῖς ἄλυπον ἐκέκρατο. μαλακὰς δὲ εὐνὰς εἶχον, ἀναφυομένης ἐκ γῆς πόας ἀφθόνῳ. τὸν δὴ βίον, ὦ Σώκρατες, ἀκούεις μὲν τὸν τῶν ἐπὶ Κρόνου· τόνδε δ' ὡς λόγος [16] ἐπὶ Διὸς εἶναι τὸν νυνί, παρὼν αὐτὸς ἤσθησαι. κρῖναι δ' αὐτοῖν τὸν εὐδαιμονέστερον ἆρ' ἂν δύναιό τε καὶ ἐθελήσειας; ΣΩ. Οὐδαμῶς. ΞΕ. Βέλει δῆτα ἐγώ σοι τρόπον τινὰ διακρίνω; ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Εἰ μὲν τοίνυν οἱ τρόφιμοι τῷ Κρόνου, παρούσης αὐτοῖς ὅτου πολλῆς σχολῆς καὶ δυνάμεως πρὸς τὸ μὴ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θηρίοις, διὰ λόγων δύνασθαι συγγίγνεσθαι, κατεχρῶντο τούτοις σύμπασιν ἐπὶ φιλοσοφίαν, μετά τε θηρίων καὶ μετ' ἀλλήλων ὁμιλοῦντες, καὶ πυν-

phanus in notis, vt video, mutauit sententiam.

14. Stephanus coni. γε. recte.

15. Timaeus: θυραυλῶν· ἔξω τῶν θυρῶν αὐλίζεσθαι καὶ ἀναστρέφεσθαι.

16. Vid. Hesiodus Εργ. 174 ff.

θανόμενοι παρὰ πάσης Φύσεως [1] εἴ τινά τις ἰδίαν δύναμιν ἔχουσα ἤσθετό τι διάφορον τῶν ἄλλων εἰς συναγυρμὸν [2] Φρονήσεως· ἔυκριτον ὅτι τῶν νῦν οἱ τότε μυρίῳ πρὸς εὐδαιμονίαν διέφερον. εἰ δὲ ἐμπιπλάμενοι [3] σίτων ἄδην καὶ ποτῶν, διελέγοντο πρὸς ἀλλήλους καὶ τὰ θηρία μύθους οἷοι δὴ καὶ τανῦν περὶ αὐτῶν λέγονται, καὶ τοῦτο, ὥστε κατὰ τὴν ἐμὴν δόξαν ἀποφήνασθαι, καὶ μάλ' ἔυκριτον. ὅμως δ' ἕν ταῦτα μὲν ἀφῶμεν, ἕως ἂν ἡμῖν μηνυτής τις ἱκανὸς φανῇ, ποτέρως οἱ τότε τὰς ἐπιθυμίας εἶχον περί τε ἐπισημῶν καὶ τῆς τῶν λόγων χρείας. ἕ δ' ἕνεκα τὸν μῦθον ἠγείραμεν, τοῦτο λεκτέον· ἵνα τὸ μετὰ τοῦτο εἰς τὸ πρόσθεν περαίνωμεν. Ἐπειδὴ [4] γὰρ πάντων τούτων χρόνος ἐτελειώθη, καὶ μεταβολὴν ἔδει γίγνεσθαι, καὶ δὴ καὶ τὸ γήϊνον ἤδη πᾶν ἀνήλωτο γένος, πάσας ἑκάστης τῆς ψυχῆς τὰς γενέσεις ἀποδεδωκύιας, καὶ [5] ὅσα ἦν ἑκάστῃ προσταχθέντα, τοσαῦτα εἰς γῆν σπέρματα πεσόσης, [6] τότε δὴ τῷ παν-

1. Marg. Steph. *Al.* τῆς φύσεως. Nimirum in Baſ. 2 eſt πάσης τῆς φύσεως. recte.

2. Pollux 3, 129 et 9, 142 habet formam συναγερμός· fortaſſis ex hoc loco. At Etymol. M. Ἀγερμὸς, ἀπὸ ἀγυρμός. Πλάτων δὲ ἀγυρμὸν εἴρηκε τὸν συναθροϊσμόν.

4. Habet locum Euſebius Praep. Euang. 11, 34 p. 562, hinc vſque ad verba ἐν αὐτῷ τε καὶ ἑαυτῷ. Legit γενέσθαι — οἷα πηδαλ.

5. In Ald. Baſ. 1. 2 deeſt καὶ, et pro προσταχθέντα legitur, vt ap. Euſebium, προσταχθέν. At iam Ficinus in ſuo Codice ita ſcriptum inuenit, vti Stephanus edidit, admonitu, vt videtur, Cornarii in Eclogis. vertit enim, *quotque erant mandata.*

6. Marg. Steph. *Sic et Ficinus vertit*, ſemina proieciſſet, *tanquam legens* σπέρματα βαλόσης. *Sed alia affertur lectio* διδόσης *quum tamen tempus Praeſens hic non conueniat, ideoque* δόσης *aptius eſſe poſſit. Illud quidem certe Participium* πεσόσης *nullo hoc ferri modo poteſt.* Scilicet διδόσης fuit coniectura Cornarii, quam ab

παντὸς ὁ μὲν κυβερνήτης, οἷον πηδαλίων οἴακος [7] ἀφέμενος, εἰς τὴν αὑτῷ [8] περιωπὴν [9] ἀπέσῃ· τὸν δὲ δὴ κόσμον πάλιν ἀνέστρεφεν εἱμαρμένη τε καὶ ξύμφυτος ἐπιθυμία. πάντες ἓν οἱ κατὰ τὰς [10] τόπους συνάρχοντες [11] τῷ μεγίστῳ δαίμονι θεοὶ, γνόντες [12] ἤδη τὸ γιγνόμενον, ἀφίεσαν αὖ τὰ μέρη τῷ κόσμῳ τῆς αὑτῶν [13] ἐπιμελείας. ὁ δὲ, μεταστρεφόμενος καὶ συμβάλλων, [14] ἀρχῆς τε καὶ τελευτῆς ἐναντίαν ὁρμὴν ὁρμηθεὶς, σεισμὸν πολὺν ἐν ἑαυτῷ ποιῶν, ἄλλην αὖ

I 3 φθο-

ab Stephano recte repudiatam arbitror, praesertim quum verbum διδόναι non satis aptum sit naturae rei, de qua hic sermo institutus est. Iam etsi lectio βαλέσης magis placere possit: tamen non necesse esse puto, vt circumspiciatur remedium, quum locus sanus sit haud dubie, ita vt etiam Ficinus legisse πεσέσης videatur, vt Eusebius. Nam multa verba Neutra vsurpantur, vt Actiua. Sic Antiphon dixit ἀγνοεῖτε τὴν πόλιν, αὐτὶ τῦ ἀγνίζετε, Harpocratione interprete: Antiphanes Comicus in Adelphis ἀνακάμψει scripsit pro ἀνατρέψαι ποιήσει, auctore Grammatico MS. bibl. Sangermanensis ap. Coppiersium Obseruatt. Philologg. p. 7: et ap. ipsum Platonem Phaedon. 66 κατακλαίειν est, *lacrymas mouere*, nam etiam Codex Augustanus bi κατέκλαυσε habet. Quidni igitur Plato πεσέσης hoc loco dicere pro καταβαλέσης potuerit? Neque vero dubito, quin ipse Ficinus verbum illud ita accipiendum viderit, neque adeo aliam suis in libris scripturam inuenerit. Etiam Vigerus in notis ad Eusebium animaduertit, Platonem πεσέσης Actiue sumsisse, raro admodum exemplo.

7. Pollux I, 89 τὸ δὲ ἄκρον τῦ πηδαλίου, οἴαξ.

8. Euseb. Ald. Bas. I. 2 αὐτῦ.

9. Bas. I. 2 περιοπήν· male. Hesychius: περιωπή· ἄποψις, τόπος ὑψηλὸς, ὅθεν ἐσὶ περισκοπῆσαι ἀκριβῶς.

10. Vigerus deleri iubebat Articulum.

11. Euseb. ξυνάρχοντες· bene.

12. Bas. I. 2 γνῶντες.

13. Euseb. Ald. Bas. I. 2 αὐτῶν.

14. Euseb. ξυμβάλλων· recte.

φθορὰν ζώων παντοίων ἀπειργάσατο. μετὰ δὲ ταῦτα προελθόντος ἱκανῦ χρόνυ, θορύβυ τε καὶ ταραχῆς ἤδη παυόμενος καὶ τῶν σεισμῶν, γαλήνης ἐπιλαβόμενος, εἰς τε τὸν εἰωθότα δρόμον τὸν ἑαυτῦ κατακοσμέμενος ἦει, ἐπιμέλειαν καὶ κράτος ἔχων αὐτὸς τῶν ἐν αὐτῷ [15] τε καὶ ἑαυτῦ τὴν τῦ δημιεργῦ καὶ πατρὸς ἀπομνημονεύων διδαχὴν εἰς δύναμιν. κατ' ἀρχὰς μὲν ἓν ἀκριβέστερον ἀπετέλει· τελευτῶν δὲ, ἀμβλύτερον. τύτων δὲ αὐτῷ τὸ σωματοειδὲς τῆς συγκράσεως αἴτιον, τὸ τῆς πάλαι ποτὲ φύσεως ξύντροφον, ὅτι πολλῆς ἦν μέτοχον ἀταξίας, πρὶν εἰς τὸν νῦν κόσμον ἀφικέσθαι. παρὰ μὲν γὰρ τῦ συνθέντος πάντα καλὰ κέκληται· [16] παρὰ δὲ τῆς ἔμπροσθεν ἕξεως ὅσα χαλεπὰ καὶ ἄδικα ἐν ἀρανῷ γίγνεται, ταῦτα ἐξ ἐκείνης αὐτός τε ἔχει καὶ τοῖς ζώοις ἐναπεργάζεται. μετὰ μὲν ἓν τῦ κυβερνήτυ τὰ ζῶα τρέφων ἐν αὐτῷ, [17] μικρὰ μὲν φλαῦρα, μεγάλα δὲ ἐνέτικτεν ἀγαθά· χωριζόμενος δὲ ἐκείνυ, τὸν ἐγγύτατα χρόνον ἀεὶ τῆς ἀφέσεως [18] κάλλιστα πάντα διάγει. προϊόντος δὲ τῦ χρόνυ, καὶ λήθης ἐγγιγνομένης ἐν αὐτῷ, μᾶλλον καὶ δυνασεύει τὸ τῆς παλαιᾶς ἀναρμοσίας πάθος, τελευτῶντος δὲ ἐξανθεῖ τῦ χρόνυ· καὶ σμικρὰ μὲν τἀγαθὰ, πολλὴν δὲ τὴν τῶν ἐναντίων κρᾶσιν ἐπεγκεραννύμενος, ἐπὶ διαφθορᾶς κίνδυνον αὐτῦ τε ἀφικνεῖται καὶ τῶν ἐν αὐτῷ. διὸ [19] δὴ καὶ τότ' ἤδη θεὸς ὁ κοσμήσας αὐτὸν, καθορῶν ἐν ἀπορίαις ὄντα, κηδόμενος ἵνα μὴ χειμασθεὶς, ὑπὸ ταραχῆς διαλυθεὶς, εἰς τὸν

15. Euseb. ἐν αὐτῷ.

16. Bas. 1. 2 κέκτηται· male.

17. Ald. Bas. 1. 2 αὐτῷ.

18. Marg. Steph. *Extat et lectio* φύσεως *pro* ἀφέσεως. Nimirum in Bas. 2. Ficinus, *discessus*. recte.

19. Laudat locum Eusebius P. E. 11, 34 p. 552, hinc vsque ad verba πάντων ἄριστα.

τὸν τῆς ἀνομοιότητος ἄπειρον ὄντα τόπον δύῃ, πάλιν ἔφεδρος αὐτῷ τῶν πηδαλίων γιγνόμενος, [20] τὰ νοσήσαντα καὶ λυθέντα ἐν τῇ καθ' αὑτὸν προτέρᾳ περιόδῳ σρέψας, κοσμεῖ τε, καὶ ἐπανορθῶν, ἀθάνατον αὐτὸν καὶ ἀγήρω [21] ἀπεργάζεται. τοῦτο μὲν δὴ τέλος ἁπάντων εἴρηται. τὸ δ' ἐπὶ τὴν τοῦ βασιλέως ἀπόδειξιν ἱκανὸν ἐκ τοῦ πρόσθεν ἁπτομένοις [22] τοῦ λόγου. σρεφθέντος γὰρ αὖ τοῦ κόσμου τὴν ἐπὶ τὴν νῦν γένεσιν ὁδὸν, τὸ τῆς ἡλικίας αὖ πάλιν ἴσατο, καὶ καινὰ τἀναντία ἀπεδίδου τοῖς τότε. τὰ μὲν γὰρ ὑπὸ σμικρότητος ὀλίγα δέοντα ἠφανίσθαι τῶν ζώων, ἠυξάνετο· τὰ δ' ἐκ γῆς νεογενῆ σώματα πολιὰ φύοντα, πάλιν ἀποθνήσκοντα εἰς γῆν κατήει. καὶ τἆλλα τε πάντα μετέβαλλεν, ἀπομιμούμενα καὶ ξυνακολουθοῦντα τῷ τοῦ παντὸς παθήματι, καὶ δὴ καὶ τὸ τῆς κυήσεως καὶ γεννήσεως καὶ τροφῆς μίμημα συνείπετο τοῖς πᾶσιν ὑπ' ἀνάγκης. ἐ γὰρ ἐξῆν ἔτ' ἐν γῇ δι' ἑτέρων συνισάντων φύεσθαι ζῷον, ἀλλὰ καθάπερ τῷ κόσμῳ προσετέτακτο, αὐτοκράτορα εἶναι τῆς αὑτοῦ [23] πορείας, ἕτω δὴ κατὰ ταυτὰ καὶ τοῖς μέρεσιν αὐτοῖς, δι' αὐτῶν, [24] καθόσον οἷόν τ' ἦν, φύειν τε καὶ γεννᾶν καὶ τρέφειν προσετάττετο ὑπὸ τῆς ὁμοίας ἀγωγῆς. ὃ δὲ ἕνεκα ὁ λόγος ὥρμηκε πᾶς, ἐπ' αὐτῷ νῦν ἐσμὲν ἤδη. περὶ μὲν γὰρ τῶν ἄλλων θηρίων πολλὰ ἂν καὶ μακρὰ διεξελθεῖν γίγνοιτο, ἐξ

20. Euseb. γενόμενος. recte. Mox, κατ' αὐτὸν — καὶ ἐπανελθών.

21. Euseb. ἄγηρων — τοῦτο μὲν τέλος πάντων εἴρηται· minus bene. Sed in scriptura verbi ἀγήρω et ἄγηρων discrepant inter se etiam aliorum scriptorum Codices veteres: cuius discrepantiae caussa intellegi potest ex iis, quae apud Suidam in v. ἀγήρως leguntur.

22. Ald. ἁπτομένοι. Bas. I. 2 ἁπτόμενοι.

23. Ald. Bas. I. 2 αὐτοῦ.

24. Ald. Bas. I. 2 αὐτῶν.

ὧν ἔκαστα καὶ δι' ἃς αἰτίας μεταβέβληκε· περὶ δὲ ἀνθρώπων, βραχύτερα καὶ μᾶλλον προσήκοντα. τῆς γὰρ τῶ κεκτημένω καὶ νέμοντος ἡμᾶς δαίμονος ἀπερημωθέντες ἐπιμελείας, τῶν πολλῶν αὖ θηρίων, ὅσα χαλεπὰ τὰς φύσεις ἦν, ἀπαγριωθέντων, αὐτοὶ δὲ [25] ἀσθενεῖς ἄνθρωποι καὶ ἀφύλακτοι γεγονότες, διηρπάζοντο ὑπ' αὐτῶν, καὶ ἔτ' ἀμήχανοι καὶ ἄτεχνοι κατὰ τὰς πρώτας ἦσαν χρόνους, ἄτε τῆς μὲν αὐτομάτης τροφῆς ἐπιλελοιπύιας· πορίζεσθαι δὲ ἐκ ἐπισάμενοί πω, διὰ τὸ [26] μηδεμίαν αὐτὰς χρείαν πρότερον ἀναγκάζειν. ἐκ τάτων πάντων ἐν μεγάλαις ἀπορίαις ἦσαν. ὅθεν δὴ τὰ πάλαι λεχθέντα παρὰ θεῶν δῶρα ἡμῖν δεδώρηται μετ' ἀναγκαίας διδαχῆς καὶ παιδεύσεως· πῦρ μὲν παρὰ Προμηθέως, τέχναι δὲ παρ' Ἡφαίστω, καὶ τῆς συντέχνω· σπέρματα δὲ αὖ καὶ φυτὰ παρ' ἄλλων· [27] καὶ πάνθ' ὁπόσα τὸν ἀνθρώπινον βίον συγκατεσκεύακεν, ἐκ τάτων γέγονεν· ἐπειδὴ τὸ μὲν ἐκ θεῶν, ὅπερ ἐρρήθη νῦν δὴ, τῆς ἐπιμελείας ἐπέλιπεν ἀνθρώπους, δι' ἑαυτῶν τε ἔδει τήν τε διαγωγὴν καὶ τὴν ἐπιμέλειαν αὐτὰς αὑτῶν [28] ἔχειν, καθάπερ ὅλος ὁ κόσμος. ᾧ συμμιμέμενοι καὶ ξυνεπόμενοι τὸν ἀεὶ χρόνον, νῦν μὲν ἕτω, τότε [29] δὴ ἐκείνως ζῶμέν τε καὶ φυόμεθα. καὶ τὸ μὲν δὴ τῦ μύθω, [30] τέλος ἐχέτω. χρήσιμον δὲ αὐτὸν ποιησόμεθα πρὸς τὸ κατιδεῖν, ὅσον ἡμάρτομεν, ἀποφηνάμενοι τὸν βασιλικόν τε καὶ πολιτι-
17 κὸν ἐν τῷ πρόσθεν λόγῳ. ΣΩ. Πῶς ἔν καὶ πόσον ἁμάρ-

25. Stephano δὲ aut expungendum videbatur, aut mutandum in δή. Posterior ratio placet.

26. Deest τὸ in Ald. Baf. 1. 2.

27. Ald. Baf. 1. 2 ἀλλήλων· male. Stephanus fequutus eſt Verſionem Ficini, in qua eſt, *ab aliis*.

28. Ald. Baf. 1. 2 αὐτῶν.

29. Stephanus coni. τοτὲ δέ. Immo, τότε δὲ δή.

30. Baf. 1 μήθω.

ἁμάρτημα φῆς εἶναι γεγονὸς ἡμῖν; ΞΕ. Τῇ μέν, βραχύτερον· τῇ δὲ, μάλα γενναῖον· καὶ πολλῷ μεῖζον καὶ πλέον ἢ τότε. ΣΩ. Πῶς; ΞΕ. Ὅτι μὲν ἐρωτώμενοι τὸν ἐκ τῆς νῦν περιφορᾶς καὶ γενέσεως βασιλέα καὶ πολιτικὸν, τὸν ἐκ τῆς ἐναντίας περιόδου ποιμένα τῆς τότε ἀνθρωπίνης ἀγέλης εἴπομεν, καὶ ταῦτα, θεὸν ἀντὶ θνητοῦ, ταύτῃ μὲν πάμπολυ παρηνέχθημεν· ὅτι δὲ ξυμπάσης τῆς πόλεως ἄρχοντα αὐτὸν ἀπεφήναμεν, ὄντινα δὲ τρόπον, ἃ διείπομεν, ταύτῃ δὲ αὖ, τὸ μὲν λεχθὲν, ἀληθὲς, ἃ μὴν ἅλον γε ἁδὲ σαφὲς ἐρρήθη. διὸ καὶ βραχύτερον ἢ κατ' ἐκεῖνο ἡμαρτήκαμεν. ΣΩ. Ἀληθῆ. ΞΕ. Δεῖ τοίνυν τὸν τρόπον, ὡς ἔοικε, διορίσαντας[1] τῆς ἀρχῆς τῆς πόλεως, ἕτω τελέως τὸν πολιτικὸν ἡμῖν εἰρῆσθαι προσδοκᾶν. ΣΩ. Καλῶς. ΞΕ. Διὰ ταῦτα μὴν καὶ τὸν μῦθον παρεθέμεθα, ἵνα ἐνδείξαιτο περὶ τῆς ἀγελαιοτροφίας, μὴ μόνον ὡς πάντες αὐτῆς ἀμφισβητοῦσι τῷ ζητουμένῳ τανῦν, ἀλλὰ κἀκεῖνον αὐτὸν ἐναργέστερον ἴδοιμεν, ὃν προσήκει κατὰ τὸ παράδειγμα μόνον ποιμένων τε καὶ βακόλων, τῆς ἀνθρωπίνης ἐπιμέλειαν ἔχοντα τροφῆς, τότε μόνον ἀξιωθῆναι τοῦ προσρήματος. ΣΩ. Ὀρθῶς. ΞΕ. Οἶμαι δ' ἔγωγε, ὦ Σώκρατες, τοῦτο μὲν ἔτι μεῖζον ἢ κατὰ βασιλέα εἶναι τὸ σχῆμα τὸ τοῦ θείου νομέως· τοὺς δ' ἐνθάδε νῦν ὄντας πολιτικοὺς, τοῖς ἀρχομένοις ὁμοίους τε εἶναι πολὺ μᾶλλον τὰς φύσεις, καὶ παραπλησιαίτερον παιδείας μετειληφέναι καὶ τροφῆς. ΣΩ. Πάντως που. ΞΕ. Ζητητέον γε μὴν ἤδη ἂν εἰ[2] ἦσαν ἓν ἢ ἧττον ἕτε μᾶλλον, εἴθ' ἕτως εἴτ' ἐκείνως πεφύκασι. ΣΩ. Πῶς γὰρ ἄ; ΞΕ. Τῇδε δὴ[3] πάλιν

I 5 ἐπ-

1. Ald. Bas. 1. 2 διορίσαντες· male, quum referatur ad verbum δεῖ.

2. Stephanus suspicabatur ante particulam εἰ deesse verbum εἴη· recte, opinor.

3. Ald. Bas. 1. 2 τί δὲ δή.

ἐπανέλθωμεν. ἦν γὰρ φαμὲν αὐτεπιτακτικὴν μὲν εἶναι τέχνην ἐπὶ ζώοις, ἃ μὴν ἰδίᾳ γε ἀλλὰ κοινῇ τὴν ἐπιμέλειαν ἔχουσαν, καὶ προσείπομεν δὴ τότε γε εὐθὺς ἀγελαιοτροφικήν. μέμνησαι γάρ; ΣΩ. Ναί. ΞΕ. Ταύτης τοίνυν πη διημαρτάνομεν. τὸν γὰρ πολιτικὸν ἐδαμῇ συνελάβομεν, οὐδ' ὠνομάσαμεν· ἀλλ' ἡμᾶς ἔλαθε κατὰ τὴν ὀνομασίαν ἐκφυγών. ΣΩ. Πῶς; ΞΕ. Τῷ τὰς ἀγέλας ἑκάσας τρέφειν, τοῖς μὲν ἄλλοις πᾶσι μέτεσι νομεῦσι, τῷ πολιτικῷ δὲ οὐ μετὸν, ἐπηνέγκαμεν τὄνομα, δέοντι [4] τῶν κοινῶν ἐπενεγκεῖν τι σύμπασι. ΣΩ. Ἀληθῆ λέγεις, εἴπερ ἐτύγχανέ [5] γε ὄν. ΞΕ. Πῶς δ' ἂν ἦν τό γε θεραπεύειν πᾶσι κοινὸν, μηδὲν [6] διορισθείσης τροφῆς, μηδέ τινος ἄλλης πραγματείας; καὶ ἄλλην δέ [7] τινα ἀγελαιοκομικὴν, ἢ θεραπευτικὴν, ἢ καί τινα ἐπιμελητικὴν αὐτὴν ὀνομάσασιν, ὡς κατὰ πάντων, ἐξῆν περικαλύπτειν καὶ τὸν πολιτικὸν ἅμα τοῖς ἄλλοις, ἐπειδὴ δεῖν τοῦτ' ἐσήμαινεν ὁ λόγος.

18 ΣΩ. Ὀρθῶς. Ἀλλ' ἡ μετὰ τοῦτο διαίρεσις αὖ τίνα τρό-

male. Recte enim Stephanus restituit τῇδε δὴ e Versione Latina Ficini, in qua est, *sic porro*.

4. Stephano videbatur scribendum aut δέον simpliciter, aut δέον τι, sic, vt τι ante σύμπασι tolleretur: recte. Certe δέοντι nullo modo ferri potest. At fortassis melius mutabitur in δέον δή. Sic non necesse est, vt tollatur τι, et particula δὴ eleganter ita comes adiungitur huiusmodi verbis a Platone.

5. Ald. ἐσύγχανε· vitiose.

6. Stephanus malebat μηδέ. sine caussa idonea. nam μηδὲν eleganter positum est pro μή.

7. Ald. Bas. 1. 2 ἄλλην τινὰ, omissis particulis καὶ δὲ, quas Stephanus addidit Cornarii admonitu. Etiam in Ficini Versione est, *et aliam quandam appellationem inferre*. immo *atque adeo aliam* —. nam particulae καὶ δὲ habent vim augendae orationis, vt apud Latinos *et vero*.

τρόπον ἐγίγνετ' ἄν; ΞΕ. Κατὰ ταῦτα, καθάπερ [1] ἔμπροσθεν διηρήμεθα τὴν ἀγελαιοτροφικὴν πεζοῖς τε καὶ ἀπτῆσι, [2] καὶ ἀμίκτοις τε καὶ ἀκεράτοις, τοῖς αὐτοῖς ἄν πᾳ τούτοις διαιρέμενοι καὶ τὴν ἀγελαιοκομικὴν, τήν τε νῦν καὶ τὴν ἐπὶ Κρόνᾳ βασιλείαν περιειληφότες ἂν ἦμεν ὁμοίως ἐν τῷ λόγῳ. ΣΩ. Φαίνεται. ζητῶ δὲ αὖ τί τὸ μετὰ τοῦτο. ΞΕ. Δηλονότι λεχθέντος ἄτω τοῦ τῆς ἀγελαιοκομικῆς ὀνόματος, ἀπ ἄν ποτ' ἐγένετο ἡμῖν τὸ τινὰς ἀμφισβητεῖν ὡς ἀδ' ἐπιμέλεια τοπαράπαν ἐστίν· ὥσπερ τότε καὶ δικαίως ἠμφισβητήθη, μηδεμίαν εἶναι τέχνην ἐν ἡμῖν ἀξίαν τοῦτο τοῦ θρεπτικοῦ προσρήματος· εἰ δ' ἕν τις εἴη, πολλοῖς πρότερον αὐτῆς καὶ μᾶλλον προσήκειν ἢ τινι τῶν βασιλέων. ΣΩ. Ὀρθῶς. ΞΕ. Ἐπιμέλεια [3] δέ γε ἀνθρωπίνης συμπάσης [4] κοινωνίας ἀδεμία ἂν ἐθελήσειε [5] μᾶλλον ἑτέρα [6] καὶ πρωτέρα τῆς βασιλικῆς φάναι καὶ κατὰ πάντων

1. Srephanus commodius scribi putabat καθ' ἅπερ, quum haec duo verba responderent duobus illis κατὰ ταῦτα.

2. Marg. Steph. *Pro ἀπτῆσι reponitur* πτηνοῖς, *sicut Ficinus interpretatur*, volatilium. Scilicet in margine Baf. 1 notata legitur lectio πτηνοῖς.

3. Excerpsit hunc locum, inde a verbis ἐπιμέλεια δέ γε vsque ad verba ἑκατέρᾳ τρόπον· Ἀληθῆ, sed omissis nominibus personarum inter se colloquentium, Stobaevs Eclogg. Ethh, c. 45 p. 325.

4. Stob. ξυμπάσης· rectius.

5. Stob. ἂν θελήσειεν· minus bene.

6. Stob. ἑτέρᾳ μᾶλλον· qui verborum ordo etiam magis prodit vitium scripturae, quod est in omnibus libris editis, et fuit in Ficini Codicibus. vertit enim, *Nulla vero ars alia de hoc contendit, quasi sit totius humanae communionis curatio maior mitiorque quam regia.* Manifestum autem puto, Ficinum primo ἑτέρᾳ coniunxisse cum ἐδεμία· deinde verbis duobus *maior mitiorque* reddidisse vnum

πάντων ἀνθρώπων ἀρχῆς εἶναι τέχνη. ΣΩ. Λέγεις ὀρθῶς. ΞΕ. Μετὰ ταῦτα δέ γε, ὦ Σώκρατες, ἆρ'[7] ἐννοῦμεν ὅτι πρὸς αὐτῷ δὴ τῷ τέλει συχνὸν αὖ διημαρτάνετο; ΣΩ. Πῇ ποῖον; ΞΕ. Τόδε· ὡς ἄρ' εἰ καὶ διενοήθημεν[8] ὀτιμάλισα τῆς δίποδος ἀγέλης εἶναί τινα θρεπτικὴν τέχνην, ἀδέν τι μᾶλλον ἡμᾶς ἔδει βασιλικὴν εὐθὺς αὐτὴν[9] καὶ πολιτικὴν, ὡς ἀποτετελεσμένην, προσαγορεύειν. ΣΩ. Τί μήν; ΞΕ. Πρῶτον μὲν ὃ ἐλέγομεν τἄνομα μετασκευωρήσασθαι, πρὸς τὴν ἐπιμέλειαν μᾶλλον ἐπαγαγόντας,[10] ἢ τὴν τροφήν· ἔπειτα ταύτην τέμνειν. ἀγαὶρ σμικρὰς ἂν ἔχοι τμήσεις ἔτι. ΣΩ. Ποίας; ΞΕ. Ἥ τε τὸν θεῖον ἄν πᾳ διειλόμεθα νομέα χωρὶς καὶ τὸν ἀνθρώπινον[11] ἐπιμελητήν. ΣΩ. Ὀρθῶς. ΞΕ. Αὖθις δέ γε τὴν ἀπονεμηθεῖσαν ἐπιμελητικὴν δίχα τέμνειν ἀναγκαῖον ἦν. ΣΩ. Τίνι; ΞΕ. Τῷ βιαίῳ τε καὶ ἑκουσίῳ. ΣΩ. Τί δή; ΞΕ. Καὶ ταύτῃ πᾳ τοπρότερον ἁμαρτάνοντες, εὐηθέστερα τῶ δέοντος εἰς

verbum πραοτέρα. At sic redundare apparet particulam καί. Vnde Cornarius recte iudicauit, pro ἑτέρα reponendum esse ἑταῖρα· quae duo verba constat innumeris locis permutata esse a librariis. Atque ex hactenus dictis lectores sponte poterunt statuere de grauitate Stephani, qui marginibus exempli sui hanc commisit animaduersionem, *Alia lectio affertur* μᾶλλον ἑταῖρα. *Locum certe nullum habere hic posse videtur* ἑτέρα. *Ficinus vertit*, Curatio maior mitiorque.

7. Stob. ἄρα, vt paullo post ἄρα.

8. Stob. διενοήθη μέν.

9. Stob. αὐτὴν εὐθύς.

10. Stob. προσαγαγόντας: non male: praesertim quum praecedat πρὸς τὴν ἐπιμέλειαν. Nam f. 20 est ἐπάγειν αὐτὰς ἐπὶ τὰ μήπω γιγνωσκόμενα.

11. Stob. τῶν ἀνθρωπίνων· sed in marg. Gesnerus posuit lectionem alteram, quam Ficinus quoque expressit, *et humanum curatorem.*

εἰς ταυτὸν βασιλέα καὶ τύραννον συνέθεμεν,[12] ἀνομοιοτάτας ὄντας, αὐτές τε, καὶ τὸν τῆς ἀρχῆς ἑκατέρᾳ τρόπον. ΣΩ. Ἀληθῆ. ΞΕ. Νῦν δέ γε πάλιν ἐπανορθάμενοι, καθάπερ εἶπον, τὴν ἀνθρωπίνην ἐπιμελητικὴν δίχα διαιρώμεθά γε, τῷ βιαίῳ τε καὶ ἑκουσίῳ. ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Καὶ τὴν μέν γε πᾶ τῶν βιαίων, τυραννικήν· τὴν δὲ ἑκούσιον καὶ ἑκουσίων διπόδων ἀγελαιοκομικὴν ζώων, προσεπόντες πολιτικήν. τὸν ἔχοντα ἓν τὴν τέχνην ταύτην καὶ ἐπιμέλειαν, ὄντως ὄντα βασιλέα καὶ πολιτικὸν ἀποφαινώμεθα. ΣΩ. Καὶ κινδυνεύει γε, ὦ ξένε, τε- 19
λέως ἂν ἡμῖν ἕτως ἔχειν ἡ περὶ τῶν πολιτικῶν ἀπόδειξις. ΞΕ. Καλῶς ἂν ὦ Σώκρατες, ἡμῖν ἔχοι. δεῖ δὲ μή σοι μόνῳ ταῦτα, ἀλλὰ καὶμοὶ μετὰ σᾶ, κοινῇ συνδοκεῖν. νῦν δὲ, κατά γε τὴν ἐμὴν ἔπω φαίνεται τέ-

12. Stob. ξυνέθεμεν. melius.

1. Marg. Steph. *Post* ἐμὴν *inuenitur Accusatiuus* δόξαν, *in quibusdam vet.*, *sed cum* Φαίνεται *nihil his verbis*, κατά γε τὴν ἐμὴν δόξαν, *aliisque huiusmodi, opus esse puto: ac videndum potius esse, annon cum* ἐμὴν *subaudire oporteat* ἀπόδειξιν, *ex praecedentibus repetitum.* Haec vero obseruatio Stephani non vno nomine notanda est et reprehendenda. Nam primo lectio κατά γε τὴν ἐμὴν δόξαν extat tantum in Bas. 2, vt non debuisset *quorundam* veterum librorum lectio dici: deinde etiam tirones norunt hodie, κατὰ τὴν ἐμὴν absolute dictum esse pro κατὰ τὴν ἐμὴν δόξαν, vel γνώμην, ita vt δόξαν, quod Bas. 2 habet, glossema Grammaticorum putari debeat. Etsi enim Plato ipse Theaet. 32 scripsit κατὰ τὴν σὴν δόξαν, et supra s. 3 κατά γε τὴν ἐμὴν δόξαν· s. 16 κατὰ τὴν ἐμὴν δόξαν· et Soph. 19 κατὰ γνώμην τὴν ἐμήν· tamen s. 30 huius Dialogi dixit κατά γε τὴν ἐμήν. vid. Koenius ad Gregorium de Dialectis p. 12. Denique κατά γε τὴν ἐμὴν δόξαν φαίνεται aeque recte dictum est, atque a Latinis dicitur, *me quidem iudice et auctore, videtur*; *meo quidem indicio et sententia, videtur.*

τέλεον ὁ βασιλεὺς ἡμῖν σχῆμα ἔχειν· ἀλλὰ καθάπερ ἀνδριαντοποιοί, παρὰ καιρὸν ἐνίοτε σπεύδοντες, πλείω καὶ μείζω τῶ δέοντος ἕκασα τῶν ἔργων ἐπεμβαλλόμενοι βραδύνεσι· καὶ νῦν ἡμεῖς, [2] ἵνα δὴ πρὸς τῷ ταχεῖ καὶ μεγαλοπρεπῶς δηλώσαιμεν τὸ τῆς ἔμπροσθεν ἁμάρτημα διεξόδε, τῷ βασιλεῖ νομίσαντες πρέπειν μεγάλα παραδείγματα ποιεῖσθαι, θαυμασὸν ὄγκον ἀράμενοι τῶ μύθε, μείζονι [3] τῶ δέοντος ἠναγκάσθημεν αὐτῶ μέρει προσχρήσασθαι. διὸ μακροτέραν τὴν ἀπόδειξιν πεποιήκαμεν, καὶ πάντως τῷ μύθῳ τέλος ἐκ ἐπέθεμεν· ἀλλ' ἀτεχνῶς ὁ λόγος ἡμῖν, ὥσπερ ζῶον, [4] τὴν ἔξωσεν μὲν περιγραφὴν ἔοικεν ἱκανῶς ἔχειν, τὴν δὲ οἷον τοῖς φαρμάκοις καὶ τῇ συγκράσει τῶν χρωμάτων [5] ἐνάργειαν ἐκ ἀπειληφέναι πω. γραφῆς δὲ καὶ συμπάσης χειρεργίας λέξει καὶ λόγῳ δηλῶν πᾶν ζῶον μᾶλλον πρέπει τοῖς δυναμένοις ἕπεσθαι τοῖς δ' ἄλλοις, διὰ χειρεργιῶν. ΣΩ. Τῶτο μὲν ὀρθῶς· ἔπη δὲ ἡμῖν ἅπω φῆς ἱκανῶς εἰρῆσθαι, δήλωσον. ΞΕ. Χαλεπὸν, ὦ δαιμόνιε, μὴ παραδείγμασι χρώμενον, ἱκανῶς ἐνδείκνυσθαί τι τῶν μειζόνων. κινδυνεύει γὰρ ἡμῶν ἕκασος, οἷον ὄναρ, εἰδὼς ἅπαντα, πάντ' αὖ πάλιν, ὥσπερ ὕπαρ, [6] ἀγνοεῖν. ΣΩ. Πῶς τῶτ' εἶπες; ΞΕ. Καὶ

2. Francof. ὑμᾶς· vitiose.

3. Ald. Bas. 1 μᾶζον ἢ. Bas. 2 μέζονι ἢ. male. Scilicet Arlenius fecerat μέζονι ex μᾶζον, sed oblitus erat delere particulam ἢ.

4. Bas. 2 ζώων· male.

5. Bas. 2 χρημάτων· male.

6. Ficinus verba ὥσπερ ὕπαρ vertit *revera*. recte. Hesychius: ὕπαρ· τὸ μεθ' ἡμέραν ὄναρ — οἷον φανερῶς, ἐναργῶς ἀληθές. Etymol. M. ὕπαρ· ἀληθῶς —. Caeterum Stobaeus Eclogg. Ethh. 2 p. 157, a Cantero editis, excerpsit locum ita, χαλεπὸν, ὦ δαιμόνιε — ἐν δέξασθαί τι — εἰδὼς, ἕκαστα πάντα αὖ —. Ἕκαστα videtur glossema verbi ἅπαντα esse, quod irrepserit e margine, aut ab ipso Stobaeo profectum.

Καὶ μάλα ἀτόπως ἐοίκαμεν [7] ἐν τῷ παρόντι κινῆσαι τὸ περὶ τῆς ἐπισήμης πάθος ἐν ἡμῖν. ΣΩ. Τί δή; ΞΕ. Παραδείγματος, ὦ μακάριε, αὖ μοι καὶ τὸ παράδειγμα αὐτὸ δεδέηκε. ΣΩ. Τί ἦν; λέγε, μηδὲν ἐμοῦ γε ἕνεκα ἀποκνῶν. ΞΕ. Λεκτέον, ἐπειδὴ καὶ σύ γε ἕτοιμος ἀκολουθεῖν. τὰς γάρ πε παῖδας ἴσμεν, ὅταν ἄρτι γραμμάτων ἔμπειροι γίγνωνται. ΣΩ.

7. Ald. Baſ. 1 ἐοίκαμεν ἕκαστον, ἐν ταῖς ἑξῆς βραχυτάταις γε ἐν τῷ παρόντι κινῆσαι, τὸ περὶ τῆς ἐπις. πάθος ἐν ἡ. Baſ. 2 ἐοικά γὲ ἕκαστον, ἐν τῷ παριόντι κινήσας, τὸ περὶ τῆς ἐπισήμης, ἐν ταῖς τῷ ἑξῆς βραχυτάταις γε πάθος ἐν ἡμῖν. Ficinus vertit, *Abſurdum admodum, o Socrates, affectum animae circa ſcientiam nunc mouimus. Nempe in magnis arduiſque incepimus, quod in mininis et facilibus erat per ordinem inchoandum.* Sed quum nec ex iſtis librorum veterum lectionibus, nec ex hac interpretatione Ficini, ſenſus commodus exiſtat: Cornarius in Eclogis monuit, verba ἕκαστον ἐν ταῖς ἑξῆς βραχυτάταις γε delenda eſſe, quae huc veniſſent e ſequentibus, et ἐν τῷ παριόντι mutandum in ἐν τῷ παρόντι, ita, *Et valde quidem abſurde videmur in praeſentia, in nobis de ſcientia affectionem commouiſſe.* Hanc igitur Cornarii emendationem ſequutus Stephanus ita edidit, vti nos cum eo edidimus. Sed adiiciemus ipſam Stephani ad hunc locum obſeruationem: cui quid tribuendum ſit, lectores e ſupra dictis exiſtimare ipſi facile poterunt. *Scriptum eſt*, inquit, *etiam, ſed perperam* ἐοίκατε [immo ἔοικά γε in Baſ. 2], *pro* ἐοίκαμεν. *Poſt quam vocem in praeced. edit. habentur haec verba* ἕκαστον ἐν ταῖς ἑξῆς βραχυτάταις γε ἐν τῷ παρόντι· *quum haec* ἐν τῷ παρόντι *debeant proxime ſequi verbum* ἐοίκαμεν· *et quae ſunt interiecta, plane aliena ſint ab hoc loco, ex iis, quae paulo poſt ſequuntur, huc tranſlata. Conatus eſt tamen et Ficinus aliquem exillis aliiſque ſenſum, diuinatione, vt opinor, vtens, eruere.*

1. Ficinus legiſſe videtur ἀκήκαν. vertit enim, *Dicendum, poſtquam ipſe es audire paratus.* Sed fieri tamen poteſt, vt reddere voluerit poteſtatem verbi ἀκολουθεῖν, quod certe nil eſt, niſi ἀκήκαν, hoc loco.

ΣΩ. Τὸ ποῖον; ΞΕ. Ὅτι τῶν στοιχείων ἕκαστον ἐν ταῖς βραχυτάταις καὶ ῥᾴσαις τῶν συλλαβῶν ἱκανῶς διαισθάνονται, καὶ τἀληθῆ φράζειν περὶ ἐκεῖνα δυνατοὶ γίγνονται. ΣΩ. Πῶς γὰρ ἄ; ΞΕ. Ταυτὰ[2] δέ γε ταῦτα ἐν ἄλλαις ἀμφιγνοοῦντες πάλιν, δόξῃ τε ψεύδονται καὶ λόγῳ. ΣΩ. Πάνυ μὲν ἔν. ΞΕ. Ἆρ' ἔν ἐσχ ὧδε ῥᾷστον καὶ κάλλιστον ἐπάγειν αὐτὸς ἐπὶ τὰ μήπω γιγνωσκόμενα; ΣΩ. Πῶς; ΞΕ. Ἀναγαγεῖν πρῶτον ἐπ' ἐκεῖνα, ἐν οἷς ταυτὰ ταῦτα[3] ὀρθῶς ἐδόξαζον· ἀναγαγόντας δὲ, τιθέναι παρὰ τὰ μήπω γιγνωσκόμενα· καὶ παραβάλλοντας, ἐνδεικνύναι τὴν αὐτὴν ὁμοιότητα καὶ φύσιν ἐν ἀμφοτέραις ἔσαν συμπλοκαῖς· μέχριπερ ἂν πᾶσι τοῖς ἀγνοουμένοις τὰ δοξαζόμενα ἀληθῶς παρατιθέμενα δειχθῇ. δειχθέντα δὲ, παραδείγματ' ἔτως γιγνόμενα, ποιήσῃ τῶν στοιχείων ἕκαστον πάντων ἐν πάσαις ταῖς συλλαβαῖς, τὸ μὲν ἕτερον, ὡς τῶν ἄλλων ἕτερον ὄν· τὸ δὲ ταυτὸν, ὡς ταυτὸν ἀεὶ κατὰ ταυτὰ ἑαυτῷ προσαγορεύεσθαι. ΣΩ. Παντάπασι μὲν ἔν. ΞΕ. Οὐκοῦν τοῦτο μὲν ἱκανῶς συνειλήφαμεν, ὅτι παραδείγματός γ' ἐστὶ τότε γένεσις, ὁπόταν ὂν ταυτὸν ἐν ἑτέρῳ διεσπασμένῳ δοξαζόμενον ὀρθῶς, καὶ συναχθὲν περὶ ἑκάτερον,[5] ὡς συνάμφω μίαν ἀληθῆ δόξαν ἀποτελῇ. ΣΩ. Φαίνεται. ΞΕ. Θαυμάζοιμ' ἂν

2. Ald. Baſ. 1. 2 ταῦτα. male.

3. Francof. ταῦτα, omiſſo ταυτά· male.

4. Baſ. 1. 2 ἔκαν· vt Ficinus, *Nonne.* At ἐκεῖν, quod eſt in Ald., requirit ipſa ratio differendi Platonica.

5. Marg. Steph. *Legitur etiam* ἕτερον *pro* ἑκάτερον· *et fortaſſe melius.* Videlicet Cornarius in Eclogis ἕτερον reponendum cenſuit. Addit Stephanus, *Paulo poſt* Μὴ θαυμάζοιμ' ἂν κ. λ. *Sed interrogatiue legendo*, θαυμάζοιμ' ἂν, *idem fuerit ſenſus.* recte. Sed μὴ θαυμάζοιμ' ἂν fuit eiuſdem Cornarii coniectura.

ἂν ἓν εἰ ταυτὸν τοῦτο ἡμῶν ἡ ψυχὴ φύσει περὶ τὰ τῶν πάντων σοιχεῖα πεπονθυῖα, ποτὲ μὲν ὑπ' ἀληθείας περὶ ἓν ἕκαστον ἔν τισι συνίσταται, ποτὲ δὲ περὶ πάντων ἐν ἑτέροις αὖ φέρεται· καὶ τὰ μὲν αὐτῶν ἀμηγέπη τῶν συγκράσεων ὀρθῶς δοξάζει, μετατιθέμενα δ' εἰς τὰς τῶν πραγμάτων μακρὰς καὶ μὴ ῥᾳδίας συλλαβὰς, ταυτὰ ταῦτα πάλιν ἀγνοεῖ. ΣΩ. Καὶ θαυμαστόν γε ἐδέν. ΞΕ. Πῶς γὰρ, ὦ φίλε, δύναιτο ἄν τις, ἀρχόμενος ἀπὸ δόξης ψευδοῦς, ἐπί τι τῆς ἀληθείας καὶ μικρὸν μέρος ἀφικόμενος, κτήσασθαι φρόνησιν; ΣΩ. Σχεδὸν ἐδαμῶς. ΞΕ. Οὐκοῦν ταῦτα εἰ ταύτῃ πέφυκεν, ἐδὲν δὴ πλημμελοῖμεν ἂν ἐγώ τε καὶ σὺ, πρῶτον μὲν ἐπιχειρήσαντες ἕλκε παραδείγματος ἰδεῖν τὴν φύσιν ἐν σμικρῷ κατὰ μέρος ἄλλῳ παραδείγματι, μετὰ δὲ ταῦτα μεταβάλλοντες ἐπὶ τὸ τοῦ βασιλέως, μέγιστον ὂν, ταυτὸν εἶδος ἐπ' ἐλαττόνων φέροντες πεθὲν. διὰ παραδείγματος ἐπιχειρεῖν αὖ τὴν τῶν κατὰ πόλιν θεραπείαν τέχνη γνωρίζειν, ἵνα ὕπαρ ἀντ' ἐνείρατος ἡμῖν γίγνηται. ΣΩ. Πάνυ μὲν ἓν ὀρθῶς. ΞΕ. Πάλιν δὴ τὸν ἔμπροσθεν λόγον ἀναληπτέον· ὡς ἐπειδὴ τῷ βασιλικῷ γένει τῆς περὶ τὰς πόλεις ἐπιμελείας ἀμφισβητῆσι μυρίοι, δεῖ δὴ πάντας ἀποχωρίζειν

6. Baſ. 2 πεπονθᾶ· mendoſe.

7. Ald. Baſ. 1. 2 ἄν· vitioſe.

8. Ald. Baſ. 1. 2 μέλλοντες· quae lectio quum careat omni ſenſu: Cornarius iam μεταβάλλοντες reponendum cenſuit. Quam quidem correctionem confirmat, praeter ipſam rem verborumque ſtructuram, Verſio Ficini, in qua eſt *maximum illud* aggreſſi *regis exemplum*: vt certum ſit, Ficinum ipſum quoque legiſſe μεταβαλλοντες. nam μεταβάλλειν exquiſite poſitum legitur apud Platonem eiuſque imitatores, in his apud Philonem, vt Mediolanum, ita vt idem ſit, quod μεταβαίνειν, τρέφεσθαι.

ρίζειν τέτας, καὶ μόνον ἐκεῖνον λιπεῖν. καὶ πρὸς τᾶτο δὴ παραδείγματος ἔφαμεν δεῖν ἡμῖν τινός. ΣΩ. 21 Καὶ μάλα. ΞΕ. Τί δῆτα παράδειγμα τις ἂν, ἔχον[1] τὴν αὐτὴν πολιτικὴν πραγματείαν, σμικρότατον παραθέμενος, ἱκανῶς ἂν ἕυροι τὸ ζητέμενον; βέλει πρὸς Διὸς, ὦ Σώκρατες, εἰ μή τι πρόχειρον[2] ἕτερον ἔχομεν, ἀλλ' ἓν τήν γε ὑφαντικὴν προελώμεθα; καὶ ταύτην, εἰ δοκεῖ, μὴ πᾶσαν. ἀποχρήσει γὰρ ἴσως ἡ περὶ τὰ ἐκ τῶν ἐρίων ὑφάσματα. τάχα γὰρ ἂν ἡμῖν καὶ τᾶτο τὸ μέρος αὐτῆς μαρτυρήσειε προαιρεθὲν ὃ βελόμεθα. ΣΩ. Τί γὰρ ἄ; ΞΕ. Τί δῆτα ἀ, καθάπερ ἐν τοῖς ἔμπροσθεν, τέμνοντες μέρη μερῶν, ἕκασον διηρέμεθα, καὶ νῦν περὶ ὑφαντικὴν ταυτὸ τᾶτο ἐδράσαμεν; καὶ κατὰ δύναμιν ὁτιμάλισα διὰ βραχέων ταχὺ πάντ' ἐπελθόντες, πάλιν ἤλθομεν ἐπὶ τὸ νῦν χρήσιμον; ΣΩ. Πῶς λέγεις; ΞΕ. Αὐτὴν τὴν διέξοδον ἀπόκρισίν σοι ποιήσομαι. ΣΩ. Κάλλις' εἶπες. ΞΕ. Ἔσι τοίνυν πάντα ἡμῖν ὁπόσα δημιεργᾶμεν καὶ κτώμεθα, τὰ μὲν, ἕνεκα τᾶ ποιεῖν τι, τὰ δὲ, τᾶ μὴ πάσχειν ἀμυντήρια. καὶ τῶν ἀμυντηρίων, τὰ μὲν ἀλεξιφάρμακα, καὶ θεῖα καὶ ἀνθρώπινα· τὰ δὲ, προβλήματα. τῶν δ' αὖ γε προβλημάτων, τὰ μὲν, πρὸς τὸν πόλεμον ὁπλίσματα· τὰ δὲ, φράγματα. καὶ τῶν φραγμάτων, τὰ μὲν, παραπετάσματα·[3] τὰ δὲ, πρὸς χειμῶνας καὶ καύματα ἀλεξιτήρια. τῶν δὲ ἀλεξιτηρίων τὰ μὲν, σεγάσματα· τὰ δὲ, σκεπάσματα. καὶ τῶν σκε-

1. Ald. Baſ. 1 παράδειγμα τὶς ἂν, ἔχων. Baſ. 2 παράδειγά τις ἂν ἔχων —. mendoſe. nam ἔχον ſatis manifeſtum eſt cohaerere cum nomine παράδειγμα· et Ficinus iam legit ἔχον. vertit enim, *exemplum exiguum quidem et eandem ciuilem continens facultatem.*

2. Heſychius: πρόχειρος· ἕτοιμος —.

3. Heſychius: παραπετάσματα· παρακαλύμματα.

σκεπασμάτων, ὑποπετάσματα μὲν, ἄλλα, περικαλύμματα δὲ, ἕτερα. τῶν περικαλυμμάτων δὲ, τὰ μὲν, ὁλόσχιστα· σύνθετα δὲ, ἕτερα. τῶν δὲ συνθέτων τὰ μὲν, τρητά· τὰ δὲ, ἄνευ τρήσεως ξυνδετά.[4] καὶ τῶν ἀτρήτων τὰ μὲν, νεύρινα, Φυτῶν ἐκ γῆς· τὰ δὲ, τρίχινα. τῶν δὲ τριχίνων, τὰ μὲν ὕδασι καὶ γῇ κολλητά· τὰ δὲ, αὐτὰ αὐτοῖς[5] συνδετά. τέτοισι δὴ τοῖς ἐκ τῶν αὐτῶν[6] συνδεμένοις ἐργασθεῖσιν ἀμυντηρίοις καὶ σκεπάσμασι, τὸ μὲν ὄνομα ἱματία ἐκαλέσαμεν· τὴν δὲ τῶν ἱματίων μάλισα ἐπιμελεμένην τέχνην, ὥσπερ τότε τὴν τῆς πόλεως πολιτικὴν εἴπομεν, ἔτω καὶ νῦν ταύτην προσείπωμεν ἀπ' αὐτῆ τῆ πράγματος ἱματουργικήν. Φῶμεν δὲ καὶ ὑφαντικὴν, ὅσον ἐπὶ τῇ τῶν ἱματίων ἐργασίᾳ μέγιστον ἦν μόριον, μηδὲν διαφέρειν, πλὴν ὀνόματι, ταύτης τῆς ἱματουργικῆς· καθάπερ κἀκεῖ τότε τὴν βασιλικὴν, τῆς πολιτικῆς. ΣΩ. Ὀρθότατά γε. ΞΕ. Τὸ μετὰ τᾶτο δὴ συλλογισώμεθα· ὅτι τὴν τῶν ἱματίων ὑφαντικὴν ἔτω ῥηθεῖσαν τις τάχ' ἂν ἱκανῶς εἰρῆσθαι δόξειε, μὴ δυνάμενος συννοεῖν ὅτι τῶν μὲν ἐγγὺς συνεργῶν ἔπω διώρισαι, πολλῶν δὲ ἑτέρων συγγενῶν ἀπεμερίσθη. ΣΩ. Ποίων εἰπὲ συγγενῶν. ΞΕ. Οὐχ[22] ἕσπε τοῖς λεχθεῖσιν, ὡς φαίνῃ· πάλιν ἓν ἔοικεν ἐπανιτέον, ἀρχόμενον ἀπὸ τελευτῆς. εἰ γὰρ συννοεῖς τὴν οἰκειότητα, τὴν μὲν διετέμομεν[1] ἀπ' αὐτῆς νῦν δὴ, τὴν τῶν σχημάτων σύνθεσιν περιβολῇ

4. Haec et caetera huius generis vocabula, quibus Plato hoc Capite vtitur, congeſſit Pollux 7, 208: cuius interpretes multa ex illo loco menda exemerunt auctoritate et ope librorum Platonis.

5. Ald. Baſ. 1 ἀυτὰ ἀυτοῖς. Baſ. 2 τὰ ἀυτοῖς.

6. Baſ. 2 ἅυτοῖς· male.

1. Baſ. 2 διετέομεν· mendoſe.

χωρίζοντες καὶ ὑποβολῆ. ΣΩ. Μανθάνω. ΞΕ. Καὶ μὴν τὴν ἐκ τῶν λίνων καὶ σπάρτων, καὶ πάντων ὅσα φυτῶν ἄρτι νεῦρα κατὰ λόγον εἴπομεν, δημιουργίαν, πᾶσαν ἀφείλομεν· τήν τ' αὖ πιλητικὴν [2] ἀφωρισάμεθα, καὶ τὴν τρήσει καὶ ῥαφῇ χρωμένην σύνθεσιν, ἧς ἡ πλείστη σκυτοτομική. ΣΩ. Πάνυ μὲν ἕν. ΞΕ. Καὶ τοίνυν τὴν τῶν ἐλοσχίσων σκεπασμάτων θεραπείαν δερματουργικὴν, καὶ τὰς τῶν σεγασμάτων, ὅσαι τε ἐν οἰκοδομικῇ καὶ ὅλῃ τεκτονικῇ, καὶ ἐν ἄλλαις τέχναις, ξευμάτων σεκτικαὶ γίγνονται, συμπάσας ἀφείλομεν· ὅσαι τε περὶ τὰς πλοκὰς καὶ τὰς βίᾳ πράξεις διακωλυτικὰ [3] ἔργα παρέχονται τέχναι φραγμάτων· περί τε γένεσιν ἐπιθηματουργίας ἕσαι, [4] καὶ τὰς τῶν θυρωμάτων πήξεις, γομφωτικῆς ἀπονεμηθείσας [5] μόρια τέχνης. τήν τε ὁπλοποιητικὴν ἀπετεμόμεθα, μεγάλης καὶ παντοίας τῆς προβληματουργικῆς τμῆμα ἕσαν δυνάμεως· καὶ δὴ καὶ τὴν μαγευτικὴν [6] τὴν περὶ τὰ ἀλε-

2. Ald. Baf. 1. 2 πολιτικήν· quod iam Cornarius in Eclogis monuit mutandum esse in πιλητικήν. Etiam Ficinus legit πιλητικήν. vertit enim, *pileorum compositionem.* Neque aliter scriptum erat in Codice Falquenburgiano Pollucis, e quo Lederlinus recepit πιλητικὴ pro πηνητικὴ, quod Kuhnius Polluci, atque adeo Platoni, reddendum censuerat. Sed multo minus probandum est κολλητικὴν, quod legitur in marg. Baf. 1. Fuit autem aut Ioh. Oporini, aut Simonis Grynaei, coniectura. Stephanus in Notis recte reiecit istam coniecturam.

3. Ald. Baf. 1. 2 διακολυτικά. Ap. Pollucem, loco mox laudando, est in libris editis antiquis διακολλητικά· sed Lederlinus restituit διακωλυτικὰ e Codicibus scriptis.

4. Baf. 2 ὅσαι.

5. Ald. Baf. 1. 2 ἀπονεμηθέσαι.

6. Ficinus vertit, *coquinariam*, quasi legerit μαγειρικήν. Ap. Pollucem 7, 209, quem in locum congessit omnia huius generis verba ex hoc Dialogi loco, legitur

ἀλεξιφάρμακα κατ' ἀρχὰς εὐθὺς διωρισάμεθα ξύμπασαν· καὶ λελοίπαμεν, ὡς δόξαιμεν ἂν, αὐτὴν τὴν ζητηθεῖσαν [7] ἀμυντικὴν χειμώνων, ἐρέᾳ προβλήματος ἐργασικήν, ὄνομα δὲ ὑφαντικὴν λεχθεῖσαν. ΣΩ. Ἔοικε γὰρ ἓν. ΞΕ. Ἀλλ' ἓκ ἔστι πᾳ τέλεον, ὦ παῖ, τοῦτο λελεγμένον. ὁ γὰρ ἐν ἀρχῇ τῆς τῶν ἱματίων ἐργασίας ἁπτόμενος, τἐναντίον ὑφῇ δρᾷν φαίνεται. ΣΩ. Πῶς; ΞΕ. Τὸ μὲν τῆς ὑφῆς, συμπλοκή τις ἐστί πᾳ. ΣΩ. Ναί. ΞΕ. Τὸ δέ γε, τῶν συνεστώτων καὶ συμπεπιλημένων διαλυτική. ΣΩ. Τὸ ποῖον δή; ΞΕ. Τὸ τῆς τοῦ ξαίνοντος τέχνης ἔργον. ἢ τὴν ξαντικὴν τολμήσομεν ὑφαντικήν, καὶ τὸν ξάντην ὡς ὄντα ὑφάντην καλεῖν; ΣΩ. Οὐδαμῶς. ΞΕ. Καὶ μὴν τήν γε αὖ σήμονος ἐργασικὴν καὶ κρόκης εἴτις ὑφαντικὴν προσαγορεύει, παράδοξόν τε καὶ ψεῦδος ὄνομα λέγει. ΣΩ. Πῶς γὰρ ἄ; ΞΕ. Τί δέ; ναφευτικὴν σύμπασαν, καὶ τὴν ἀκεσικὴν, πότερα μηδεμίαν ἐπιμέλειαν μηδὲ τινα θεραπείαν ἐσθῆτος θῶμεν; ἢ καὶ ταύτας πάσας ὡς ὑφαντικὰς λέξομεν; ΣΩ. Οὐδαμῶς. ΞΕ. Ἀλλὰ μὴν τῆς γε θεραπείας ἀμφισβητήσουσιν αὗται ξύμπασαι, καὶ τῆς γενέσεως τῆς τῶν ἱματίων, τῇ τῆς ὑφαντικῆς δυνάμει· μέγιστον μὲν μέρος ἐκείνῃ διδοῦσαι, μεγάλα δὲ καὶ σφίσιν αὐταῖς ἀπονέμουσαι. ΣΩ. Πάνυ γε. ΞΕ. Πρὸς τοίνυν ταύτας, ἔτι τὰς τῶν ἐργαλείων δημιουργὸς τέχνας, δι' ὧν ἀποτελεῖται τὰ τῆς ὑφῆς ἔργα, δοκεῖν χρὴ τότε συναιτίας εἶναι προσποιήσασθαι παντὸς ὑφάσματος. ΣΩ. Ὀρθότατα. ΞΕ. Πότερον ἓν ἡμῖν ὁ περὶ τῆς ὑφαντικῆς λόγος, ἢ προειλόμεθα μέρος ἱκανῶς ἔσαι

tur μαγγανευτική· cui tamen lectioni Iungermanus et Lederlinus alteram recte praetuliſſe videntur.

7. Baſ. 2 ζητηθῆσα· mendoſe.

διωρισμένος, ἐὰν ἄρ' ἀυτὴν τῶν ἐπιμελειῶν ὁπόσαι περὶ τὴν ἐρέαν ἐσθῆτα εἰς τὴν καλλίστην καὶ μεγίστην πασῶν τιθῶμεν; ἢ λέγοιμεν μὲν ἄν τι ἀληθὲς, οὐ μὴν σαφές γε οὐδὲ τέλεον,[8] πρὶν αὖ καὶ ταύτας
23 ἀυτῆς πάσας περιέλωμεν; ΣΩ. Ὀρθῶς. ΞΕ. Οὐκοῦν μετὰ ταῦτα[1] ποιητέον ὃ λέγομεν, ἵν' ἐφεξῆς ἡμῖν ὁ λόγος ἴῃ. ΣΩ. Πῶς δ' οὔ; ΞΕ. Πρῶτον μὲν[2] τοίνυν δύο τέχνας οὔσας περὶ πάντα τὰ δρώμενα θεασώμεθα. ΣΩ Τίνας; ΞΕ. Τὴν μὲν, γενέσεως οὖσαν συναίτιον, τὴν δ', ἀυτὴν αἰτίαν. ΣΩ. Πῶς; ΞΕ. Ὅσαι[3] μὲν τὸ πρᾶγμα ἀυτὸ μὴ δημιουργοῦσι, ταῖς δὲ δημιουργούσαις ὄργανα παρασκευάζουσιν, ὧν μὴ παραγενομένων, οὐκ ἄν ποτε ἐργασθείη τὸ προστεταγμένον ἑκάστῃ τῶν τεχνῶν· ταύτας μὲν, ξυναιτίους· τὰς δὲ ἀυτὸ τὸ πρᾶγμα ἀπεργαζομένας, αἰτίας. ΣΩ. Ἔχει[4] γοῦν λόγον. ΞΕ. Μετὰ τοῦτο δὴ τὰς μὲν περί τε ἀτράκτους καὶ κερκίδας, καὶ ὁπόσα ἄλλα ὄργανα τῆς περὶ τὰ ἀμφιέσματα γενέσεως κοινωνεῖ, πάσας συναιτίους εἴπωμεν· τὰς δὲ ἀυτὰ θεραπευούσας καὶ δημιουργούσας, αἰτίας ΣΩ. Ὀρθότατα. ΞΕ. Τῶν αἰτιῶν δὴ, πλυντικὴν μὲν, καὶ ἀκεστικὴν, καὶ πᾶσαν τὴν περὶ ταῦτα θεραπευτικὴν, πολλῆς οὔσης τῆς κοσμητικῆς, τοὐνταῦθα ἀυτῆς μόριον, εἰκὸς μάλιστα περιλαμβάνειν, ὀνομάζοντας πᾶν τῇ τέχνῃ τῇ κναφευτικῇ. ΣΩ. Καλῶς. ΞΕ. Καὶ

8. Francof. τέλειον.

1. Ald. Baſ. 1. 2 μεταταῦτα.

2. Hic locus, inde a verbis πρῶτον μὲν τοίνυν vſque ad verba ἔχει γὰρ οὖν λόγον, extat ap. Stobaeum Ecll. Ethh. c. 58 p. 380 ita ſcriptus, πρῶτον μὲν — τῆς γενέσεως — τὴν δὲ ἀυτὴν — πρᾶγμ' ἀυτὸ — ποτ' ἐργασθείη — δ' ἀυτὸ τὸ πρᾶγμ' ἀπεργ. — ἔχει γοῦν λόγον. Et Articulus quidem ante γενέσεως recte additus eſt: etiam γὰρ οὖν magis placet, quam γοῦν.

3. Ald. Baſ. 1. 2 ὅσα· vitioſe.

4. Baſ. 2 ἔχω· male.

Καὶ μὴν ξαντική[5] γε καὶ νησική,[6] καὶ πάντα αὖ τὰ περὶ τὴν ποίησιν αὐτὴν τῆς ἐσθῆτος ἧς λέγομεν μέρη, μία τις ἐστὶ τέχνη τῶν ὑπὸ πάντων λεγομένων ἡ ταλασιεργική. ΣΩ. Πῶς γὰρ ἄ; ΞΕ. Τῆς δὴ ταλασιεργικῆς δύο τμήματα ἐσόν καὶ τοῦτον ἑκάτερον ἅμα δυοῖν πεφύκατον τέχναιν μέρη. ΣΩ. Πῶς; ΞΕ. Τὸ μὲν ξαντικὸν, καὶ τὸ τῆς κερκιστικῆς ἥμισυ, καὶ ὅσα τὰ συγκείμενα ἀπ' ἀλλήλων ἀφίεσι, πᾶν τοῦτο, ὡς ἓν φράζειν, τῆς τε ταλασιεργίας αὐτῆς ἔστι πᾶ, καὶ μεγάλα τινὲ κατὰ πάντα ἡμῖν ἦσην τέχνα, ἡ συγκριτική τε καὶ διακριτική. ΣΩ. Ναί. ΞΕ. Τῆς τοίνυν διακριτικῆς ἥ τε ξαντικὴ καὶ τὰ νῦν δὴ ῥηθέντα ἅπαντα ἐστίν. ἡ γὰρ ἐν ἐρίοις τε καὶ σήμοσι διακριτικὴ, κερκίδι[8] μὲν ἄλλον τρόπον γιγνομένη, χερσὶ δὲ ἕτερον, ἔσχεν ὅσα ἀρτίως ὀνόματα ἐῤῥήθη. ΣΩ. Πάνυ μὲν ὄν. ΞΕ. Αὖθις δὴ πάλιν συγκριτικῆς μόριον ἅμα καὶ ταλασιεργίας[9] ἐν αὐτῇ γιγνόμενον λάβωμεν· ὅσα δὲ τῆς διακριτικῆς ἦν αὐτόθι μετίωμεν σύμπαντα, δίχα τέμνοντες τὴν ταλασιεργίαν, διακριτικῷ τε καὶ συγκριτικῷ τμήματι. ΣΩ. Διῃρήσθω. ΞΕ. Τὸ συγκριτικὸν τοίνυν αὖ σοι καὶ ταλασιεργικὸν ἅμα μόριον, ὦ Σώκρατες, διαιρετέον, εἴπερ ἱκανῶς μέλλομεν τὴν προῃρῆθεῖσαν ὑφαντικὴν αἱρήσειν. ΣΩ. Οὐκοῦν χρή. ΞΕ. Χρὴ μὲν ὄν· καὶ λέγωμέν γε αὐτῆς τὸ μὲν, εἶναι ξρεπτικόν· τὸ δὲ, συμπλεκτικόν. ἆρ' ὃν[10] μανθάνω; δοκεῖς γάρ μοι τὸ περὶ τὴν τῦ σήμονος ἐργα-

 σίαν

5. Ald. Baſ. 1. 2 ξαντικήν· male.

6. Ald. Baſ. 1. 2 νησικήν· male.

7. Timaeus Gloſſ. ταλασιεργία· ἡ περὶ τῶν ἐρίων ἐργασίμη τέχνη.

8. Baſ. 2 κερκίδη· mendoſe.

9. Baſ. 2 ταλασιεργίαν· vitioſe.

10. Baſ. 1. 2 ΣΩ. ἆρ' ὄν· recte. Stephanus coni. ἆρ' ὦ· male.

σίαν λέγειν σρεπτικόν. ΣΩ. " Οὐ μόνον γε, ἀλλὰ καὶ κρόκης. ἢ γένεσιν ἄσροφόν τινα αὐτῆς εὑρήσομεν; ΣΩ. Οὐδαμῶς. ΞΕ. Διόρισαι δὴ καὶ τόδοιν ἑκάτερον. ἴσως γὰρ ὅδ' ὁρισμὸς ἔγκαιρος ἂν σοι γένοιτο. ΣΩ. Πῇ; ΞΕ. Τῇδε. τῶν περὶ ξαντικὴν ἔργων μικυθέν τε καὶ σχὸν πλάτος λέγομεν εἶναι κάταγμά [12] τι. ΣΩ. Ναί. ΞΕ. Τόδε δὴ τὸ μὲν ἀτράκτῳ τε σραφὲν καὶ σερεὸν νῆμα γενόμενον, σήμονα μέν φασι τὸ νῆμα· τὴν δ' ἀπευθύνσασαν αὐτὸ τέχνην, εἶναι σημονικήν. ΣΩ. Ὀρθῶς. ΞΕ. Ὅσα δέ γε αὖ τὴν μὲν συσροφὴν χαύνην λαμβάνει, τῇ δὲ τᾶ σήμονος ἐμπλέξει πρὸς τὴν τῆς γνάψεως [13] ὁλκὴν ἐμμέτρως τὴν μαλακότητα ἴσχει, [14] ταῦτ' ἄρα κρόκην μὲν, τὰ νηθέντα· τὴν δὲ ἐπιτεταγμένην αὐτοῖς εἶναι τέχνην κροκονητικὴν φῶμεν. ΣΩ. Ὀρθότατα. ΞΕ. Καὶ μὴν τό γε τῆς ὑφαντικῆς μέρος ὃ πρὸθέμεθα, παντί πᾳ δῆλον ἤδη. τὸ γὰρ συγκριτικῆς τῆς ἐν ταλασιεργίᾳ μόριον, ὅταν εὐθυπλοκίᾳ κρόκης καὶ σήμονος ἀπεργάζηται πλέγμα, τὸ μὲν πλεχθὲν [15] σύμπαν, ἐσθῆτα ἐρέαν· τὴν δ' ἐπὶ τόδε τέχνην ἅσαν, προσαγορεύομεν ὑφαντικήν.
24 ΣΩ. Ὀρθότατα. ΞΕ. Εἶεν. τί δήποτε ἂν οὐκ εὐθὺς ἀπεκρινάμεθα πλεκτικὴν εἶναι κρόκης καὶ σήμονος ὑφαντικὴν, ἀλλὰ περιήλθομεν ἐν κύκλῳ πάμπολλα διοριζόμενοι μάτην. ΣΩ. Οὔκουν [1] ἔμοιγε, ὦ ξένε, μάτην οἶδεν τῶν ῥηθέντων ἔδοξε ῥηθῆναι. ΞΕ. Καὶ

11. Baſ. 1. 2 ΞΕ. recte.

12. Timaeus Gloſſ. κάταγμα· εἶδος σπάσματος καὶ μήρυμα. Melius Suidas: κάταγμα· εἶδος κατάτασμα, ἢ μήρυμα. Nam Pollux 7, 29 κάταγμα· τὸ δ' αὐτὸ, καὶ μήρυμα.

13. Baſ. 2 γνάφεως· vitioſe.

14. Baſ. 2 ἔσχα· male.

15. Baſ. 2 λεχθέν· mendoſe.

1. Ald. Baſ. 1. 2 οὐκῶν· male.

Καὶ θαυμασόν γε ἐδέν. ἀλλὰ τάχ' ἂν, ὦ μακάριε, δόξειε πρὸς δὴ τὸ νόσημα τὸ τοιῦτον, ἂν ἄρα πολλάκις ὕστερον ἐπίῃ. Θαυμαστὸν γὰρ ἐδέν. λόγον ἄκυστον τινὰ προσήκοντα περὶ πάντων τῶν τοιούτων ἐρήθην. ΣΩ. Λέγε μόνον. ΞΕ. Πρῶτον τοίνυν εἰδῶμεν πᾶσαν τήν τε ὑπερβολὴν καὶ τὴν ἔλλειψιν, ἵνα κατὰ λόγον ἐπαινῶμεν καὶ ψέγωμεν τὰ μακρότερα τῦ δέοντος ἑκάστοτε λεγόμενα, καὶ ταναντία περὶ τὰς τοιαύτας διατριβάς. ΣΩ Οὐκοῦν χρή. ΞΕ. Περὶ δὴ τούτων αὐτῶν ὁ λόγος ἡμῖν, οἶμαι, γιγνόμενος, ὀρθῶς ἂν γίγνοιτο. ΣΩ. Τίνων; ΞΕ. Μήκους τε πέρι καὶ βραχύτητος, καὶ πάσης ὑπεροχῆς καὶ ἐλλείψεως. ἢ γάρ πε μετρητικὴ περὶ πάντ' ἐστὶ ταῦτα. ΣΩ Ναί. ΞΕ. Διέλωμεν τοίνυν αὐτὴν δύο μέρη. δεῖ γὰρ δὴ πρὸς ἓ νῦν σπεύδομεν. ΣΩ. Λέγοις ἂν τὴν διαίρεσιν ὅπη. ΞΕ. Τῇδε. τὸ μὲν, κατὰ τὴν πρὸς ἄλληλα μεγέθος καὶ σμικρότητος κοινωνίαν· τὸ δὲ, τὸ κατὰ τὴν τῆς γενέσεως ἀναγκαίαν ὐσίαν. ΣΩ. Πῶς λέγεις; ΞΕ. Ἆρ' ὐ κατὰ Φύσιν δοκεῖ σοι τὸ μεῖζον μηδενὸς ἑτέρυ δεῖν μεῖζον λέγειν, ἢ τῦ ἐλάττονος; καὶ τἔλαττον αὖ, τῦ μείζονος ἔλαττον, ἄλλυ δὲ μηδενός; ΣΩ. Ἔμοιγε. ΞΕ. Τί δέ; τὸ τὴν τῆς μετρίυ Φύσιν ὑπερβάλλον, καὶ ὑπερβαλλόμενον ὑπ' αὐτῆς ἐν λόγοις, εἴτε καὶ ἐν ἔργοις, ἆρ' ὐκ αὖ λέξομεν ὡς ὄντως γιγνόμενον, ἐν ᾧ καὶ διαφέρυσι μάλισα ἡμῶν οἵ τε καὶ

2. Stephano videbatur deesse Praepositio εἰς ante δύο· quam tamen ait et alibi apud Platonem in simili loco omissam esse. recte. At non modo a Platone, sed etiam ab Herodoto, Xenophonte, aliisque omnibus, verbis diuidendi sic iungi solet simpliciter Accusatiuus. Herodo. 7, 121 τρῆς μοῖρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν στρατόν· quo loco ap. Suidan in v. δύναθαι male legitur εἰς τρῆς μοῖρας. Vid. ibi Valquenarius p. 558.

καὶ καὶ ἀγαθοί; ΣΩ. Φαίνεται. ΞΕ. Διττὰς ἄρα ταύτας ἀσίας καὶ κρίσεις τῶ μεγάλω καὶ τῶ σμικρῶ θετέον· ἀλλ' ἐχ, ὡς ἔφαμεν ἄρτι, πρὸς ἄλληλα μόνον δεῖν. ἀλλ' ὥσπερ νῦν εἴρηται, μᾶλλον, τὴν μὲν, πρὸς ἄλληλα λεκτέον, τὴν δ' αὖ, πρὸς τὸ μέτριον. ἕ δὲ ἕνεκα, μαθεῖν ἆρ' ἂν βουλοίμεθα; ΣΩ. Τί μήν; ΞΕ. Εἰ πρὸς μηδὲν ἕτερον τὴν τῶ μείζονος ἐάσει τὶς φύσιν ἢ πρὸς ἔλαττον, ἐκ ἔσαι ποτὲ πρὸς τὸ μέτριον. ἦ γάρ; ΣΩ. Οὕτω. ΞΕ. Οὐκοῦν[3] τὰς τέχνας τε αὐτὰς καὶ τἄργα αὐτῶν σύμπαντα διελῶμεν τούτω τῷ λόγω; καὶ δὴ καὶ τὴν νῦν ζητουμένην πολιτικὴν καὶ τὴν ῥηθεῖσαν ὑφαντικὴν ἀφανιῶμεν; ἅπασαι γὰρ αἱ τοιαῦταί πω τὸ τῶ μετρίω πλέον καὶ ἔλαττον, ἐχ ὡς ἐκ ὂν ἀλλ' ὡς ὂν χαλεπὸν περὶ τὰς πράξεις παραφυλάττεσι. καὶ τούτω δὴ τῷ τρόπω τὸ μέτριον σώζουσαι, πάντα ἀγαθὰ καὶ καλὰ ἀπεργάζονται. ΣΩ. Τί μήν; ΞΕ. Οὐκοῦν ἂν τὴν πολιτικὴν ἀφανίσωμεν, ἄπορος ἡμῖν ἡ μετὰ τοῦτο ἔσαι ζήτησις τῆς βασιλικῆς ἐπισήμης. ΣΩ. Καὶ μάλα. ΞΕ. Πότερον οὖν, καθάπερ ἐν τῷ σοφιςῇ προσηναγκάσαμεν εἶναι τὸ μὴ ὄν, ἐπειδὴ κατὰ τοῦτο[4] διέφυγεν ἡμᾶς ὁ λόγος, οὕτω καὶ νῦν τὸ πλέον αὖ καὶ ἔλαττον μετρητὰ προσαναγκαστέον γίγνεσθαι, μὴ πρὸς ἄλληλα μόνον, ἀλλὰ καὶ πρὸς τὴν τῶ μετρίω γένεσιν; ἃ γὰρ δὴ δυνατόν γε ἦτε πολιτικόν γε ἦτ' ἄλλον τινὰ τῶν περὶ τὰς πράξεις ἐπισήμονα ἀναμφισβητήτως γεγονέναι, τοῦτο μὴ συνομολογηθέντος.[5] ΣΩ. Οὐκοῦν καὶ νῦν ὀτιμάλισα χρὴ ταυτὸν ποιεῖν. ΞΕ. Πλέον, ὦ Σώκρατες, ἔτι τοῦτο τὸ ἔργον ἢ ἐκεῖνο. καίτοι καὶ κεῖνό γε μεμνήμεθα τὸ μῆκος ὅσον ἦν· ἀλλ' ὑποτίθε-

3. Bas. 1. 2 ἔκων.
4. Ald. Bas. 1. 2 τοῦτον. τος· mendose.
5. Bas. 2 συνομολογηθέν-

θεσθαι μὲν τὸ τοιόνδε περὶ αὐτῶν καὶ μάλα δίκαιον.
ΣΩ. Τὸ ποῖον; ΞΕ. Ὡς ποτὲ δεήσει τῶ νῦν λεχθέντος πρὸς τὴν περὶ αὐτὸ τἀκριβὲς ἀπόδειξιν. ἔτι δὲ πρὸς τὰ νῦν καλῶς καὶ ἱκανῶς δείκνυσθαι δοκεῖ μοι βοηθεῖν μεγαλοπρεπῶς ἡμῖν ὅτος ὁ λόγος, ὡς ἄρα ἡγητέον ὁμοίως τὰς τέχνας πάσας εἶναι μεῖζόν τι ἅμα καὶ ἔλαττον μετρεῖσθαι, μὴ πρὸς ἄλληλα μόνον, ἀλλὰ καὶ πρὸς τὴν τῶ μετρίω γένεσιν. τότε τε γὰρ ὄντος, ἐκεῖνά ἐστι κἀκείνων ὄντων, ἔστι καὶ τῶτο. μηδὲ ὄντος ποτέρω τέτων, ἀδέτερον αὐτῶν ἔσαι ποτέ. ΣΩ. Τῶτο μὲν ὀρθῶς· ἀλλὰ τί δὴ τὸ μετὰ τῶτο; ΞΕ. Δηλονότι διαιρεῖμεν ἂν τὴν μετρητικὴν, καθάπερ ἐρρήθη, ταύτη, δίχα τέμνοντες. ἓν μὲν τιθέντες αὐτῆς μέριον συμπάσας τέχνας, ὁπόσαι τὸν ἀριθμὸν, καὶ μήκη καὶ βάθη καὶ πλάτη, καὶ ταχυτῆτας πρὸς τἐναντίον μετρῶσι· τὸ δὲ ἕτερον, ὁπόσαι πρὸς τὸ μέτριον καὶ τὸ πρέ-

1. Ald. Baſ. 1. 2 ὅτι — δέκνυσθαι. Ficinus quoque legiſſe videtur ὅτι — δέκνυται. vertit enim, *quod autem ad praeſentia pertinere, egregie ſufficienterque monſtrauerimus.* At iam Cornarius monuit, reponi oportere ἔτι — δέκνυται· quem adeo Stephanus ſequutus eſt. Huic ipſi Stephano etiam πρὸς τὸ τὰ νῦν, et mox ἅμα καὶ μεῖζόν τι, legendum videbatur. ſine cauſſa idonea, vti opinor.

2. Ald. Baſ. 1. 2 ταῦτα· vt Ficinus, *haec ſunt:* quod in τῶτο mutari recte iuſſit Cornarius.

3. Stephanus rectius ſcribi δῆλον ὅτι putabat. Caeterum in Ald. nomen ΞΕ. perperam poſitum legitur ante ἀλλὰ τί δὴ, et omiſſum ante δηλονότι.

4 Marg. Steph. *Al.* παχυτῆτας. Scilicet in Baſ. 2 eſt παχύτητος· haud dubie, operarum incuria, pro ταχύτητας· inde Stephanus finxit ipſe lectionem παχυτῆτας. Certe alteram ſcripturam Ficinus quoque reddidit, *et velocitatem:* qui etiam καὶ πλάτη καὶ βάθη, ordine verborum inuerſo, ſcriptum in ſuo Codice videtur, quum Verſio eius Latina habeat, *latitudinem, profunditatem.*

πρέπον καὶ τὸν καιρὸν καὶ τὸ δέον, καὶ πάνθ' ὁπόσα εἰς τὸ μέσον ἀπῳκίσθη τῶν ἐσχάτων. ΣΩ. Καὶ μέγα γ' ἑκάτερον τμῆμα εἶπες, καὶ πολὺ διαφέρον ἀλλήλοιν. ΞΕ. Ὁ γὰρ ἐνίοτε, ὦ Σώκρατες, οἰόμενοι δή τι σοφὸν φράζειν πολλοὶ τῶν κομψῶν [5] λέγουσιν, ὡς ἄρα μετρητικὴ περὶ πάντ' ἐστὶ τὰ γιγνόμενα, τᾶτ' αὐτὸ τὸ νῦν λεχθὲν ὂν τυγχάνει. μετρήσεως μὲν γὰρ δή τινα τρόπον πάνθ' ὁπόσα ἔντεχνα μετείληφε· διὰ δὲ τὸ μὴ κατ' εἴδη συνειθίσθαι σκοπεῖν διαιρεμένας, ταῦτά τε τοσᾶτον διαφέροντα συμβάλλεσιν ἐνθὺς εἰς ταυτὸν, ὅμοια νομίσαντες· καὶ τἀναντίον αὖ τάτε δρῶσιν, ἕτερα ἑ κατὰ μέρη διαιρᾶντες· δέον, ὅταν μὲν τὴν τῶν πολλῶν τὶς πρότερον αἴσθηται κοινωνίαν, μὴ προαφίεσθαι πρὶν ἂν ἐν αὐτῇ τὰς διαφορὰς εἰδῇ πάσας, ὁπόσαιπερ ἐν εἴδεσι κεῖνται· τὰς δὲ αὖ παντοδαπὰς ἀνομοιότητας, ὅταν ἐν πλήθεσιν ὀφθῶσι, μὴ δυνατὸν εἶναι δυσωπέμενον [6] παύεσθαι, πρὶν ἂν σύμπαντα τὰ οἰκεῖα ἐντὸς μιᾶς ὁμοιότητος ἕρξας, γένος τινὸς ἀσίᾳ περιβάληται. [7] ταῦτα μὲν ἂν ἱκανῶς περί τε τάτων καὶ περὶ τῶν ἐλλείψεων καὶ ὑπερβολῶν εἰρήσθω. Φυλάττωμεν δὲ μόνον, ὅτι δύο γένη περὶ αὐτὰ ἐξευρηται τῆς μετρητικῆς· καὶ ἃ Φαμὲν αὖτ' [8] εἶναι μεμνώ-
26μεθα. ΣΩ. Μεμνησόμεθα. ΞΕ. Μετὰ τᾶτον δὴ τὸν λόγον, ἕτερον προσδεξώμεθα περὶ αὐτῶν τε τῶν ζη-

5. Schol. Augustanus: κομψῶν· κομψὸς, τωθαστὴς, γελοιαστὴς, σκωπτικὸς, ἢ καλὸς, ἢ μέτριος· recte. At apud Platonem per τὸς κομψὸς intellegi debent *Sophistae*. Vid. Ruhnquenius ad Timaei Glossas p. 116.

6. Timaeus Gloss. δυσωπᾶσθαι· ὑφορᾶσθαι καὶ ὑπόπτως ἔχειν.

7. Marg. Steph. *Legitur etiam* περιβάλλη. Scilicet in Bas. 2 est περιβάλλῃ.

8. Cornarius correxit αὐτ' ἄντα h. e. *ipsa esse*. recte.

ζητεμένων, καὶ περὶ πάσης τῆς ἐν τοῖς τοιοῖσδε λόγοις διατριβῆς. ΣΩ. Τὸ ποῖον; ΞΕ. Εἴτις ἀνέροιτο ἡμᾶς τὴν περὶ γράμματα συνεσίαν τῶν μανθανόντων, ὁπόταν τὶς ὁτιῆν ὄνομα ἐρωτηθῇ τίνων ἐσὶ γραμμάτων, πότερον αὐτῷ τότε φῶμεν γίγνεσθαι τὴν ζήτησιν, ἑνὸς ἕνεκα μᾶλλον τῶ προβληθέντος, ἢ τῶ περὶ πάντα τὰ προβαλλόμενα γραμματικωτέρῳ γίγνεσθαι, ΣΩ. Δῆλον ὅτι τῶ περὶ ἅπαντα. ΞΕ Τί δ' αὖ; νῦν ἡμῖν ἡ περὶ τῶ πολιτικῶ ζήτησις ἕνεκα αὐτῶ τότε προβέβληται μᾶλλον, ἢ τῶ περὶ πάντα διαλεκτικωτέροις γίγνεσθαι; ΣΩ. Καὶ τῶτο δῆλον ὅτι τῶ περὶ πάντα. ΞΕ. Ἧπε [2] τὸν τῆς ὑφαντικῆς γε λόγον αὐτῆς ταύτης ἕνεκα θηρεύειν ἐδεὶς ἂν ἐθελήσειε νῶν ἔχων. ἀλλ', εἶμαι, τὰς πλείσας λέληθεν, ὅτι τοῖς μὲν τῶν ὄντων ῥᾳδίως καταμαθεῖν αἰσθηταί [3] τινες ὁμοιότητες πεφύκασιν, ἃς ἐδὲν χαλεπὸν δηλῶν, ὅταν αὐτῶν τις βεληθῇ τῷ λόγον αἰτοῦντι περί τε, [4] μὴ μετὰ πραγμάτων, ἀλλὰ χωρὶς λόγε ῥᾳδίως ἐνδείξασθαι. τοῖς δ' αὖ μεγίσοις ἔσι καὶ τιμιωτάτοις ὀκ ἔσιν εἴδωλον ἐδὲν πρὸς τὰς

1. Ald. Bas. 1 δηλονότι. Bas. 2 καὶ τῶτο σχεδὸν πολλῷ πλέον τῶ περὶ πάντα male, vt mox dicetur. Ficinus expressit scripturam exempli Stephaniani, *patet id quoque, quod omnium gratia.*

2. Schol. Augustanus; ἧπε· ἴσως, σχεδόν· ἧπεγε· πολλῷ πλέον. nam sic interpungi debere, e Suida patet, qui habet glossas duas has, Ἧπε· ἴσως, σχεδόν —. Ἧπε γε· πολλῷ πλέον. Ex quo existimari posse videtur, verba σχεδὸν πολλῷ πλέον, quae in Bas. 2 pro δῆλον ὅτι leguntur, in Codices antiquos venisse e marginibus, adscripta a Grammaticis, interpretationis causa, ad ἧπε. At ἧπε est, hoc loco, ὄντως πε, vt Hesychius rectissime interpretatur.

3. Ald. Bas. 1. 2 αἰσθητικαί· quod iam Cornarius vidit mutandum esse in αἰσθηταί. Ficinus, *sensibiles*, recte. Gloss. vett. αἰσθητὸς *Sensibilis.*

4. Ald. Bas. 1. 2 περὶ τε.

τὸς ἀνθρώπους εἰργασμένον ἐναργῶς, ᾧ δειχθέντος, τὴν τῶ πυνθανομένω ψυχὴν ὁ βελόμενος ἀποπληρῶσαι, πρὸς τῶν αἰσθήσεων τινὰ προσαρμόττων, ἱκανῶς πληρώσει. διὸ δεῖ μελετᾶν, λόγον ἑκάστω δυνατὸν εἶναι δῶναι καὶ δέχασθαι. τὰ γὰρ ἀσώματα, κάλλιστα ὄντα καὶ μέγιστα, λόγῳ μόνον, ἄλλῳ δὲ ὐδενὶ σαφῶς δείκνυται. τούτων δὲ ἕνεκα πάντ' ἐστὶ τὰ νῦν λεγόμενα. ἐμοὶ δ' ἐν τοῖς ἐλάττοσιν ἡ μελέτη παντὸς πέρι μᾶλλον ἢ περὶ τὰ μείζω. ΣΩ. Κάλλιστ' εἶπες. ΞΕ. Ὧν τοίνυν χάριν ἅπαντ' ἡμῖν ταῦτ' ἐρρήθη, τούτων μνησθῶμεν. ΣΩ. Τίνων; ΞΕ. Ταύτης τε ἀχ ἥκιστα αὐτῆς ἕνεκα τῆς δυσχερείας, ἣν περὶ τὴν μακρολογίαν τὴν περὶ τὴν ὑφαντικὴν ἀπεδεξάμεθα δυσχερῶς, καὶ τὴν περὶ τὸ παντὸς ἀνείλιξιν, καὶ τὴν τῆ σοφιστῆ περὶ τῆς τοῦ μὴ ὄντος ὐσίας. ἐννοοῦντες ὡς ἔσχε μῆκος πλέον· καὶ ἐπὶ τούτοις δὴ πᾶσιν ἐπεπλήξαμεν ἡμῖν αὐτοῖς, δείσαντες μὴ περίεργα ἅμα καὶ μακρὰ λέγοιμεν. ἵν' ἓν εἰσαῦθις μηδὲν πάσχωμεν τοιοῦτον, τούτων ἕνεκα πάντων τὰ πρόσθεν νῦν εἰρῆσθαι φάθι. ΣΩ. Ταῦτ' ἔσαν. λέγε ἑξῆς μόνον. ΞΕ. Λέγω τοίνυν ὅτι χρὴ δὴ μεμνημένους ἐμὲ καί σε τῶν νῦν εἰρημένων, τόν τε ψόγον ἑκάστοτε καὶ ἔπαινον ποιεῖσθαι βραχύτητος ἅμα καὶ μήκους ὧν ἂν ἀεὶ πέρι λέγωμεν, μὴ πρὸς ἄλληλα τὰ μήκη κρίνοντες, ἀλλὰ κατὰ τὸ τῆς μετρητικῆς μέρος, ὃ τότε ἔφαμεν δεῖν μεμνῆ-

5. Francof. 2.: quod extitit e ΣΕΝ., vt operarum incuria in exemplo Stephaniano scriptum est.

6. Ald. Bas. 1 ἐμνήθημεν· e quo in Bas. 2 factum est ἐμνήθαμεν. Μνηθῶμεν rectum est, quod Ficinus iam in Versione Latina expressit, *recordemur*.

7. Moeris: φάθι, ἀντὶ εἰπὲ, Ἀττικῶς —.

8. Ald. Bas. 1. 2 μετρικῆς. Stephanus recepit μετρητικῆς, Cornarii auctoritate. Sed variant libri veteres multis aliis locis in scri-

μνῆσθαι πρὸς τὸ πρέπον. ΣΩ. Ὀρθῶς. ΞΕ. Οὐ τοίνυν ἀδὲ πρὸς τοῦτο πάντα. ἔτε γὰρ πρὸς τὴν ἡδονὴν μήκους ἁρμόττοντος ἀδὲν [9] προσδεησόμεθα, πλὴν εἰ μὴ πάρεργόν τι. ἔτε [10] αὖ πρὸς τὴν τοῦ προβληθέντος ζήτησιν, ὡς ἂν ῥᾷστα καὶ τάχιστα εὕρωμεν, δεύτερον ἀλλ' ἀ πρῶτον ὁ λόγος ἀγαπᾶν παραγγέλλει· πολὺ δὲ μάλιστα καὶ πρῶτον τὴν μέθοδον ταύτην [11] τιμᾶν, τὰ κατ' εἴδη δυνατὸν εἶναι διαιρεῖν. καὶ δὴ καὶ λόγον, ἂν τε παμμήκης λεχθεὶς, τὸν ἀκέσαντα εὑρετικώτερον ἀπεργάζηται, τοῦτον σπεύδειν, καὶ τῷ μήκει μηδὲν ἀγανακτεῖν· ἂν τ' αὖ βραχύτερος, ὡσαύτως. ἔτι δ' αὖ πρὸς τούτοις τὸν [12] περὶ τὰς τοιάσδε συνουσίας ψέγοντα λόγων μῆκη, καὶ τὰς ἐν κύκλῳ περιόδους ἐκ ἀποδεχόμενον, ὅτι χρὴ τὸν τοιοῦτον μὴ πάνυ ταχὺ μηδ' εὐθὺς ἔτω μεθιέναι, ψέξαντα μόνον ὡς μακρὰ τὰ πρόσθεν ταῦτα τὰ λεχθέντα· ἀλλὰ καὶ προσαποφαίνειν οἴεσθαι δεῖν ὡς βραχύτερα ἂν γενόμενα [13] τοὺς συνόντας ἀπειργάζετο διαλεκτικωτέρους, καὶ τῆς τῶν ὄντων λόγῳ δηλώσεως εὑρετικωτέρους· τῶν δὲ ἄλλων καὶ πρὸς ἄλλ' ἄττα ψόγων καὶ ἐπαίνων μηδὲν Φροντίζειν, μηδὲ

scriptura huius vocabuli, vt ap. Pollucem 4, 166: vbi in libris editis antiquis est ἐκ δὲ μετρικῆς, sed Codex Iungermani habebat ἐκ δὲ μετρητικῆς· quam ipsi putamus cum Iungermano esse veram et legitimam verbi scripturam. Certe oculi et manus librariorum quam saepissime medias syllabas vocabulorum praeteriere.

9. Ald. Bas. 1 ἀδενί.

10. Ald. Bas. 1. 2 τότε· quod Stephanus, Ficino et Cornario praeeuntibus, recte mutauit in ἔτε.

11. Ald. Bas. 1. 2 ἀυτήν· sed Cornarius in Eclogis corrigendum esse docuit ταύτην. Ficinus, *illum progressum.*

12. Ald. Bas. 1. 2 τῶν· sed Cornarius emendauit τόν.

13. Ald. Bas. 1 γενώμεθα. At Bas. 2 γενόμενα· quod Cornarius quoque reponendum censuit.

μηδὲ τοπαράπαν ἀκύειν δοκεῖν τῶν τοιούτων λόγων.
27 Καὶ τούτων μὲν ἄλις, εἰ καί σοι ταύτῃ ξυνδοκεῖ. πρὸς δὲ δὴ τὸν πολιτικὸν ἴωμεν πάλιν, τῆς προῃρημένης ὑφαντικῆς αὐτὸ φέροντες τὸ παράδειγμα. ΣΩ. Καλῶς εἶπες· καὶ ποιῶμεν ἃ λέγεις. ΞΕ. Οὐκοῦν ἀπό γε τῶν πολλῶν ἑ βασιλεὺς ἅσαι ξύννομοι, μᾶλλον δὲ ἀπὸ πασῶν τῶν περὶ τὰς ἀγέλας διακεχώρισαι λοιπαὶ δὲ, φαμὲν, αἱ κατὰ πόλιν αὐτὴν τῶν τε ξυναιτίων καὶ τῶν αἰτίων, ἃς πρώτας ἀπ' ἀλλήλων διαιρετέον. ΣΩ. Ὀρθῶς. ΞΕ. Οἶσθ' ἔν ὅτι χαλεπὸν τεμεῖν αὐτὰς δίχα. τὸ δ' αἴτιον, ὡς οἶμαι, προϊόσιν ἐκ ἧττον ἔσαι καταφανές. ΣΩ. Οὐκοῦν χρὴ δρᾶν ἔτω. ΞΕ. Κατὰ μέλη τοίνυν αὐτὰς, οἷον ἱερεῖον, διαιρώμεθα, [2] ἐπειδὴ δίχα ἀδυνατοῦμεν. δεῖ γὰρ εἰς τὸν ἐγγύτατα ἑτιμάλισα τέμνειν ἀριθμὸν ἀεί. ΣΩ. Πῶς ἔν ποιῶμεν ταυτί; ΞΕ. Ὥσπερ ἔμπροσθεν, ὁπόσαι παρείχοντο ὄργανα περὶ τὴν ὑφαντικήν, πάσας δήπου [3] τότε ἐτίθεμεν ὡς συναιτίους. ΣΩ. Ναί. ΞΕ. Καὶ νῦν δὴ ταυτὸν μὲν τοῦτο, ἔτι δὲ μᾶλλον ἢ τόθ' ἡμῖν ποιητέον. ὅσαι γὰρ σμικρὸν ἢ μέγα τι δημιουργοῦσι κατὰ πόλιν ἔργανον, θετέον ἁπάσας ταύτας ὡς ἔσας συναιτίους. ἄνευ γὰρ τούτων ἐκ ἂν ποτε γένοιτο πόλις, οὐδὲ πολιτική. τούτων δ' αὖ βασιλικῆς ἔργον τέχνης οὐδέν ποθήσομεν. ΣΩ. Οὐ γάρ. ΞΕ. Καὶ μὴν [4] δὴ χαλεπὸν

1. Marg. Steph. *Legitur etiam* αὐτῷ, *videlicet* τῷ πολιτικῷ. Haec erat Cornarii coniectura, quam adiuvare videtur Versio Ficini, *textoris exemplum quod supra posuimus*, conferentes.

2. Ald. Baſ. 1. 2 διερώμεθα· mendoſe.

3. Ita legitur in Baſ. 2. nam Ald. Baſ. 1 habent ſimpliciter που, non δήπου.

4. Legi haud dubie debet καὶ μήν· nam καὶ μὴν eſt *atqui*: quod quum in Verſione Latina Ficini exter, dubitari non poteſt, quin ipſe quoque legerit καὶ μήν.

πὸν ἐπιχειρῆμεν δρᾶν, ἀποχωρίζοντες τᾶτο ἀπὸ τῶν ἄλλων τὸ γένος. ὅτι [5] γὰρ ἓν τῶν ὄντων ὡς ἔστιν ἑνός γε τινὸς ὄργανον εἰπόντα, δοκεῖν εἰρηκέναι τι πιθανόν· ὅμως δὲ ἕτερον ἦν [6] τῶν ἐν πόλει κτημάτων εἶπωμεν τόδε. ΣΩ. Τὸ ποῖον; ΞΕ. Ὡς ἐκ ἔστι ταύτην τὴν δύναμιν ἔχον. ΣΩ. Οὐ γὰρ ἐπὶ γενέσεως αἰτίαν πήγνυντα, καθάπερ ὄργανον, ἀλλ' ἕνεκα τᾶ δημιεργηθέντος [7] σωτηρίας. ΣΩ. Τὸ ποῖον; ΞΕ. Τᾶτο ὃ δὴ ξηροῖς καὶ ὑγροῖς, καὶ ἐμπύροις καὶ ἀπύροις παντοδαπὸν εἶδος ἐργασθέν· ἀγγεῖον ὃ δὴ μιᾷ κλή-

5. Marg. Steph. *Non videtur ita debere legi hic locus.* Certe ſtructura verborum eſt paulo inſolentior, cum quod particulam ὅτι ſequitur Accuſatiuus cum Infinitiuo, tum quod eandem particulam excipit in altero periodi membro particula ὅμως. At quum ſciam, etiam diligentiſſimos ſcriptores ſaepenumero, praeſertim in eiuſmodi ſermonibus, neglegentes eſſe in conſequutione particularum; quum non ignorem, particulam ὅτι non raro ſequi Accuſatiuum cum Infinitiuo: vid. Raphelius ad Act. 27, 10 et nos ad Phaedon. 8: nolim attingere haec philoſophi verba, quae haud dubie ſana ſunt et integra. Ficinus vertit, *Qui enim dicit, vnius cuiuſdam eorum, quae ſunt, inſtrumentum eſſe, vt verisimile quiddam loqui videtur: ita alterum tame[illegible]* —. Et Stephanus loco laboranti in Notis putabat ita ſuccurri poſſe, vt pro ὅτι reponeretur ἔστι, quod iungeretur cum δοκᾶν, vt ita intellegeretur locus, ἔστι γὰρ ἓν ἀπόντα ὡς ἔστιν ἑνός γε τινὸς τῶν ὄντων ὄργανον, δοκᾶν, κ. τ. λ.

6. Marg. Steph. *In Germanica editione ſcriptum eſt* ἑτερονᾶν. Immo in Germanicis editionibus, hoc eſt, Baſ. I. 2. *Extat et alia lectio* ὅμως δεύτερον τῶν ἐν πόλει κτημ. Haec ſcilicet erat Cornarii coniectura, quam in Eclogis propoſuit. In Notis Stephanus malebat ἕτερον ὄν, aut certe ἕτερον ἦν.

7. Stephanus malebat τῆς τᾷ δημιεργηθέντος, inferto Articulo. non male.

κλήσει προσφθεγγόμεθα, καὶ μάλα γε συχνὸν εἶδος, καὶ τῇ ζητουμένῃ γε, ὡς οἶμαι, προσῆκον ἐδὲν ἀτεχνῶς ἐπισήμῃ. ΣΩ. Πῶς γὰρ ἔ; ΞΕ. Τέτων δὴ τρίτον ἕτερον εἶδος κτημάτων πάμπολυ κατοπτέον πεζὸν καὶ ἔνυδρον, καὶ πολυπλανὲς καὶ ἁπλανὲς, καὶ τίμιον καὶ ἄτιμον· ἓν δὲ ὄνομα ἔχον, διότι πᾶν ἕνεκα τινὸς ἐφέδρας ἐστὶ, θάκος ἀεί τινι γιγνόμενον. ΣΩ. Τὸ ποῖον; ΞΕ. Ὄχημα αὐτό πε λεγόμενον, ἐ πάνυ πολιτικῆς ἔργον, ἀλλὰ μᾶλλον πολὺ τεκτονικῆς καὶ κεραμικῆς καὶ χαλκοτυπικῆς.
28 ΣΩ. Μανθάνω. ΞΕ. Τί δέ; τέταρτον ἆρ' [1] ἕτερον εἶναι τέτων λεκτέον, ἐν ᾧ τὰ πλεῖσά ἐστι τῶν πάλαι ῥηθέντων; ἐσθής τε ξύμπασα, καὶ τῶν ὅπλων τὸ πολὺ, καὶ τείχη, πάντα θ' ὅσα γήϊνα περιβλήματα καὶ λίθινα, καὶ μυρία ἕτερα; προβολῆς δὲ ἕνεκα ξυμπάντων αὐτῶν εἰργασμένων, δικαιότατ' ἂν ὅλον προσαγορεύοιτο πρόβλημα, καὶ πολλῷ μᾶλλον τέχνης οἰκοδομικῆς ἔργον καὶ ὑφαντικῆς τὸ πλεῖστον νομίζοιτ' ἂν ὀρθότερον ἢ πολιτικῆς. ΣΩ. Πάνυ μὲν ἔν. ΞΕ. Πέμπτον δὲ ἆρ' ἂν ἐθέλοιμεν τὸ περὶ τὸν κόσμον καὶ γραφικὴν θεῖναι, καὶ ὅσα ταύτῃ προσχρώμενα καὶ μουσικῇ μιμήματα τελεῖται, πρὸς τὰς ἡδονὰς μόνον ἡμῶν ἀπειργασμένα; δικαίως δ' ἂν ὀνόματι περιληφθέντα ἑνί. ΣΩ. Ποίῳ; ΞΕ. Παίγνιόν τι δὴ λέγεται. ΣΩ. Τί μήν; ΞΕ. Τοῦτο τοίνυν τούτοις ἓν [3] ὄνομα ἅπασι πρέψει προσαγορευθέν. ἐ γὰρ σπουδῆς ἕδεν αὐτῶν χάριν, ἀλλὰ παιδιᾶς ἕνεκα, πάντα δρᾶται. ΣΩ. Καὶ τοῦτο σχεδὸν μανθάνω. ΞΕ. Τὸ δὲ πᾶσι τούτοις σώματα παρέχον, ἐξ ὧν καὶ ἐν οἷς δημιουργοῦσιν ὁπόσα τῶν τεχνῶν νῦν εἴρηται, παντοδαπὸν εἶδος πολλῶν ἑτέρων τεχνῶν ἔγγονον ὄν, ἆρ' ἔχ ἕκτον θήσομεν; ΣΩ. Τὸ

1. Ald. Baf. 1. 2 ἄρ'.
2. Ald. Baf. 1. 2 δ', male.
3. Baf. 1 ἦν· vitioſe.

Τὸ ποῖον δὴ λέγεις; ΞΕ. Χρυσόν τε καὶ ἄργυρον, καὶ πάνθ' ὁπόσα μεταλλεύεται, καὶ ὅσα δρυοτομικὴ καὶ κυρὰ ξύμπαντα [4] τέμνουσα παρέχει τεκτονικῇ, καὶ πλεκτικῇ, καὶ ἔτι φλοισικῇ, Φυτῶν τε καὶ ἐμψύχων δέρματα σωμάτων περιαιρεῖσα σκυτοτομικὴ, καὶ ὅσαι περὶ τοιαῦτ' εἰσὶ τέχναι, καὶ Φελλῶν καὶ βίβλων καὶ δεσμῶν ἐργασικαὶ, παρέσχον δημιουργεῖν σύνθετα ἐκ μὴ συντιθεμένων εἴδη γενῶν. ἓν δὲ αὐτὸ προσαγορεύομεν πᾶν τὸ πρωτογενὲς ἀνθρώποις κτῆμα καὶ ἀξύνθετον, καὶ βασιλικῆς ἐπισήμης ἀδαμῶς ἔργον ὄν. ΣΩ. Καλῶς. ΞΕ. Τὴν δὴ τῆς τροφῆς κτῆσιν, καὶ ὅσα εἰς τὸ σῶμα ξυγκαταμιγνύμενα ἑαυτῶν μέρεσι μέρη σώματος, εἰς τὸ θεραπεῦσαι τινὰ δύναμιν εἴληχε, λεκτέον ἕβδομον, ὀνομάσαντας αὐτὸ ξύμπαν ἡμῶν εἶναι τροφόν· εἰ μή τι κάλλιον ἔχομεν ἄλλο θέσθαι. γεωργικῇ δὲ, καὶ θηρευτικῇ καὶ γυμναστικῇ, καὶ ἰατρικῇ, καὶ μαγειρικῇ πᾶν ὑποτιθέντες, ὀρθότερον ἀποδώσομεν ἢ τῇ πολιτικῇ. ΣΩ. Πῶς γὰρ οὔ; ΞΕ. Σχεδὸν τοίνυν ὅσα ἔχεται κτήσεως, πλὴν τῶν ἡμέρων ζώων, ἐν τούτοις ἑπτὰ εἶμαι γένεσιν εὑρῆσθαι.

4. Marg. Steph. *Legitur etiam* ξύμπασα· immo σύμπασα, in Baſ. 2. Ficinus omiſit in Verſione Latina.

5. Stephanus ſcribendum putabat πλεκτικῇ, καὶ ἔτι φλοισικῇ, in Nominandi caſu: et paulo poſt ἕσαι τέχναι. Neutra emendatione opus eſſe videtur. Sed recte animaduertit idem Stephanus, Ficinum male legiſſe τεκτονικῇ, atque adeo hoc vocabulum a verbo παρέχει, cum quo cohaeret, ſeparaſſe. Caeterum congeſſit ex hoc loco nomina variarum illarum artium Pollux Onom. 7, 209.

6. Heſychius: φελλός· — τὸ τῶν βιβλίων ἔξωθεν σκέπασμα.

7. Baſ. 2 ὀνομάσαντες· male. nam Accuſatiuus pendet a verbo λεκτέον. Mox ante verba ἐὰν μή τι in Ald. perperam inſertum legitur nomen ΣΩ.

σκόπει δέ· ἦν γὰρ δικαιότατα μὲν ἂν τεθὲν κατ' ἀρχὰς τὸ πρωτογενὲς εἶδος· μετὰ δὲ τοῦτο, ὄργανον, ἀγγεῖον, ὄχημα, πρόβλημα, παίγνιον, θρέμμα. παραλείπομεν δὲ εἴτι μὴ μέγα λέληθεν εἴς τι τούτων μέγα δυνατὸν ἁρμόττειν· οἷον ἡ τῆ νομίσματος ἰδέα, καὶ σφραγίδων καὶ παντὸς χαρακτῆρος. γένος τε γὰρ ἐν αὐτοῖς ταῦτα οὐδὲν ἔχει μέγα ξύννομον· ἀλλὰ τὰ μὲν, εἰς κόσμον, τὰ δὲ, εἰς ὄργανα, βίᾳ μὲν, ὅμως δὲ πάντως ἑλκόμενα συμφωνήσει. τὰ δὲ περὶ ζώων κτῆσιν τῶν ἡμέρων, πλὴν δέλων, ἡ πρότερον ἀγελαιοτροφικὴ διαμερισθεῖσα, πάντα εἰληφυῖα ἀναφανεῖται. ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Τὸ δὲ δὴ δέλων καὶ πάντων ὑπηρετῶν λοιπὸν, ἐν οἷς πᾳ καὶ μαντεύομαι τὸς περὶ αὐτὸ τὸ πλέγμα ἀμφισβητοῦντας τῷ βασιλεῖ, καταφανεῖς γενήσεσθαι· καθάπερ τοῖς ὑφάνταις τότε τὸς περὶ τὸ νήθειν τε καὶ ξαίνειν, καὶ ὅσα ἄλλα εἴπομεν, οἱ δ' ἄλλοι πάντες, ὡς συναίτιοι λεχθέντες, ἅμα τοῖς ἔργοις τοῖς νῦν δὴ ἐηθεῖσιν ἀνήλωνται, καὶ ἀπεχωρίσθησαν ἀπὸ βασιλικῆς τε καὶ πολιτικῆς πράξεως. ΣΩ. Ἐοίκασι γοῦν. ΞΕ. Ἴθι δὴ, σκεψώμεθα τὸς λοιπὸς, προσελθόντες ἐγγύθεν, ἵν' αὐτὸς εἰδῶμεν βεβαιότερον. ΣΩ. Οὐκοῦν χρή. ΞΕ. Τὸς μὲν δὴ μεγίστους ὑπηρέτας, ὡς ἐνθένδε ἰδεῖν, τἀναντίον ἔχοντας εὑρήσομεν [2] οἷς ὑπωπτεύσαμεν ἐπιτήδευμα καὶ πάθος. ΣΩ. Τίνας; ΞΕ. Τὸς ὠνητάς τε καὶ τῷ τρόπῳ τούτῳ κτητάς· ὃς ἀναμφισβητήτως δέλους ἔχομεν εἰπεῖν, ἥκιστα βασιλικῆς μεταποιουμένους [3] τέχνης. ΣΩ. Πῶς δ' ὅς; ΞΕ. Τί δαί; τῶν ἐλευ-

1. Ald. Baſ. 1. 2 πάντας· male.

2. Ald. Baſ. 1. 2 ἑυρήσκομεν vitioſe. Etiam Ficinus vertit, *reperiemus.*

3. Timaeus Gloſſ. μεταποιεῖσθαι· ἀντιποιεῖσθαι. Sic enim Ruhnquenius recte reſcripſit, pro ἀντὶ τῦ ποιεῖσθαι, e Suida. Nam Suidas:

ἐλευθέρων ὅσοι τοῖς νῦν δὴ [4] ῥηθεῖσιν εἰς ὑπηρετικὴν ἑκόντες αὐτὰς [5] τάττεσι, τάς τε γεωργίας καὶ τὰ τῶν ἄλλων τεχνῶν ἔργα διακομίζοντες ἐπ' ἀλλήλας, καὶ ἀνισῶντες, οἱ μὲν, κατ' ἀγορὰς, οἱ δὲ, πόλιν ἐκ πόλεως ἀλλάττοντες κατὰ θάλατταν καὶ πεζῇ, νόμισμά τε πρὸς τἄλλα καὶ αὐτὸ πρὸς αὐτὸ [6] διαμείβοντες, ὃς ἀργυραμοιβός [7] τε καὶ ἐμπόρους καὶ ναυκλήρους καὶ καπήλους ἐπωνομάκαμεν, μῶν τῆς πολιτικῆς ἀμφισβητήσουσί τι; ΣΩ. Τάχ' ἂν ἴσως τῆς γε τῶν ἐμπορευτικῶν. ΞΕ. Ἀλλ' ἃ μὴν, ὅς γε ὁρῶμεν μισθωτὰς καὶ θῆτας [8] πᾶσιν ἑτοίμους [9] ὑπηρετοῦντας, μή ποτε βασιλικῆς μεταποιουμένους εὑρώμεν. ΣΩ. Πῶς γάρ. ΞΕ. Τί δὲ ἄρα τὰς τὰ τοιάδε διακονοῦντας ἡμῖν ἑκάστοτε; ΣΩ. Τὰ ποῖα εἶπες, καὶ τίνας; ΞΕ. Ὧν τὸ κηρυκικὸν [10] ἔθνος, ὅσοι τε περὶ γράμματα σοφοὶ γίγνονται, πολλάκις ὑπηρετήσαντες, καὶ πόλλ' ἄττα ἕτερα περὶ τὰς ἀρχὰς διαπονεῖσθαι τινὲς ἕτεροι πάνδεινοι, τί τούτους αὖ λέξομεν; ΣΩ. Ὅπερ εἶπες νῦν, ὑπηρέτας, ἀλλ' ἐκ αὐτῶν ἐν ταῖς πόλεσιν ἄρχοντας. ΞΕ. Ἀλλ' ἃ μὴν οἶμαί γε ἐνύπνιον ἰδὼν εἶπον ταύτῃ πη φανήσεσθαι

das: Μεταποιεῖσθαι· ἀντιποιεῖσθαι. Πλάτων Πολιτικοῖς· Ἧκισα βασιλικῆς μεταποιουμένης τέχνης —.

4. Ald. Baſ. 1. 2 δὴ· mendoſe.

5. Ald. Baſ. 1. 2 αὐτούς.

6. Ald. Baſ. 1. 2 αὐτό.

7. Timaeus Gloſſ. ἀργυραμοιβός· ὁ κέρμα ἀντὶ ἀργυρίου ἀλλασσόμενος.

8. Pollux 3, 82 πελάται δὲ, καὶ θῆτες, ἐλευθέρων ἐστὶν ὀνόματα, διὰ πενίαν ἐπ' ἀργυρίῳ δουλευόντων.

9. Stephanus malebat ἑτοίμως· ſine cauſſa idonea: immo ἑτοίμους exquiſitius dictum eſt et elegantius. Vid. Animaduerſſ. ad Vueller. p. 303 ſ.

10. Ita ap. Pollucem quoque 7, 209 reſcripſit, ex hoc loco, Lederlinus, pro κηρύκιον, quod eſt in libris editis antiquis, et pro κηρυκτικὸν, quod erat in ſcriptis Codicibus. Supra ſ. 4 erat τὸ κηρυκικὸν φῦλον.

τὲς διαφερόντως ἀμφισβητῦντας τῆς πολιτικῆς. καίτοι σφόδρα γε ἄτοπον ἂν εἶναι δόξειε τὸ ζητεῖν τότες ἐν ὑπηρετικῇ [11] μοίρᾳ τινί. ΣΩ. Κομιδῇ μὲν ὖν. ΞΕ. Ἔτι δὴ προσμίξωμεν ἐγγύτερον ἐπὶ τὲς μήπω βεβασανισμένες. εἰσὶ δὲ σί τε περὶ μαντικὴν ἔχοντες τινὸς ἐπισήμης διακόνε μόριον. ἑρμηνευταὶ γάρ πε νομίζονται παρὰ θεῶν ἀνθρώποις. ΣΩ. Ναί. ΞΕ. Καὶ μὴν καὶ τὸ τῶν ἱερέων αὖ γένος, ὡς τὸ νόμιμον φησι, παρὰ μὲν ἡμῶν δωρεὰς θεοῖς διὰ θυσιῶν ἐπισῆμόν ἐστι, κατὰ νῶν ἐκείνοις, δωρεῖσθαι, παρὰ δὲ ἐκείνων ἡμῖν εὐχαῖς κτῆσιν ἀγαθῶν αἰτήσασθαι. ταῦτα δὲ διακόνε τέχνης ἐστί πε μόρια ἀμφότερα. ΣΩ. Φαίνεται γᾶν. ΞΕ. Ἤδη τοίνυν μοι δοκῶμεν οἷον γέ τινος ἴχνες [1] ἐφ' ὃ πορευόμεθα προσάπτεσθαι. τὸ γὰρ δὴ τῶν ἱερέων σχῆμα καὶ τὸ τῶν μάντεων εὖ μάλα φρονήματος πλῆρες, καὶ δόξαν σεμνὴν λαμβάνει, διὰ τὸ μέγεθος τῶν ἐγχειρημάτων. ὥστε περὶ μὲν Αἴγυπτον ἐᾷ ἔξεστι βασιλέα χωρὶς [2] ἱερατικῆς ἄρχειν· ἀλλ' ἐὰν ἄρα καὶ τύχῃ πρότερον ἐξ ἄλλε γένες βιασάμενος, ὕστερον ἀναγκαῖον εἰς τῦτο εἰστελεῖσθαι αὐτὸν τὸ γένος. ἔτι δὲ καὶ τῶν Ἑλλήνων πολλαχῆ ταῖς μεγίσκις ἀρχαῖς τὰ μέγιστα τῶν περὶ τὰ τοιαῦτα θύματα ἔυροι τὶς ἂν προσταττόμενα θύειν. καὶ δὴ καὶ παρ' ὑμῖν ἐχ ἥκιστα δῆλον ὃ λέγω. τῷ γὰρ λαχόντι βασιλεῖ φασὶ τῆδε τὰ σεμνότατα καὶ μάλιστα πάτρια τῶν ἀρχαίων θυσιῶν ἀποδεδόσθαι. [3] ΣΩ. Καὶ πάνυ

11. Ald. ἐνυπηρετικῇ.

1. Marg. Steph. *Legitur etiam* οἷον γάτονος ἴχνος· *quae lectio non displicet, licet Ficinus alteram sequatur.* Scilicet Ficinus vertit, *Iam igitur vestigium* quoddam — *attingere videmur:* sed in Baf. 2 est γάτονος.

2. Schol. Augustanus: χωρὶς· σημαίνει, ὅτι οἱ τῶν Αἰγυπτίων βασιλῆς πάντες ἱερῆς ἦσαν.

3. Pollux 8, 90 ὁ δὲ βασιλεὺς — καὶ τὰ περὶ τὰς πατρίας

νυ γε. ΞΕ. Τέτας τε τοίνυν τὰς κληρωτὰς βασιλέας ἅμα καὶ ἱερέας, καὶ ὑπηρέτας αὐτῶν, καί τινα ἕτερον πάμπολυν ὄχλον σκεπτέον, ὃς ἄρτι καταδήλος νῦν ἡμῖν γέγονεν, ἀποχωρισθέντων τῶν ἔμπροσθεν. ΣΩ. Τίνας δ' αὐτὰς καὶ λέγεις; ΞΕ. Καὶ μάλα τινὰς ἀτόπους. ΣΩ. Τί δή; ΞΕ. Πάμφυλόν τι γένος αὐτῶν, ὥς γε ἀρτίως σκοπεμένῳ φαίνεται. πολλοὶ μὲν γὰρ λέγουσι τῶν ἀνδρῶν εἴξασι [4] καὶ κενταύροις, καὶ τοιούτοισιν ἑτέροις· πάμπολλοι δὲ σατύροις, καὶ τοῖς ἀσθενέσι καὶ πολυτρόποις θηρίοις. [5] ταχὺ δὲ μεταβάλλουσι [6] τάς τε ἰδέας καὶ τὴν δύναμιν εἰς ἀλλήλας. καὶ μέντοι μοὶ νῦν, ὦ Σώκρατες, ἄρτι δοκῶ κατανενοηκέναι τὰς ἄνδρας. ΣΩ. Λέγοις ἄν. ΞΕ. Ἔοικας γὰρ ἄτοπόν τι καθορᾶν. ΣΩ. Ναί. ΞΕ. Τὸ γὰρ ἄτοπον ἐξ ἀγνοίας πᾶσι συμβαίνει. καὶ γὰρ δὴ καὶ νῦν αὐτὸς τοῦτο ἔπαθον ἐξαίφνης· ἠμφιγνόησα κατιδὼν τὸν περὶ τὰ τῶν πόλεων πράγματα χορόν. ΣΩ. Ποῖον; ΞΕ. Τὸν πάντων τῶν σοφιστῶν μέγιστον γόητα, καὶ ταύτης τῆς τέχνης ἐμπειρότατον· ὃν ἀπὸ τῶν ὄντως ὄντων πολιτικῶν καὶ βασιλικῶν καίπερ παγχάλεπον ὄντα ἀφαιρεῖν, ἀφαιρετέον, εἰ μέλλομεν ἰδεῖν ἐναργῶς τὸ ζητούμενον. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε οὐκ ἀνετέον.

τρίας θυσίας διοικεῖ. Sic recte ibi emendauit, Codicum veterum auctoritate, Hemsterhusius, quum in superioribus editionibus legeretur πατρώας. Quam quidem emendationem hic ipse Platonis locus plane confirmat.

4. Timaeus Gloss. Εἴξασι, καὶ Εἴκασι, λέγει ἀντὶ τοῦ ἐοίκασιν.

5. Bas. 2 θυρίοις· mendose.

6. Marg. Steph. *Al.* μεταλλάσσουσι· *quod malim.* Est lectio Bas. 2: quam tamen ego nolim praeferre alteri, quum repugnare videantur verba εἰς ἀλλήλας. Neque enim dici posse puto μεταλλάσσουσιν εἰς ἀλλήλας.

ΞΕ. Οὔκουν [7] δή, κατά γε τὴν ἐμήν. καί μοι φράζε
311 τόδε. ΣΩ. Τὸ ποῖον; ΞΕ. Ἆρ' ἡ [1] μοναρχία τῶν πολιτικῶν ἡμῖν ἀρχῶν ἐστί μία; ΣΩ. Ναί. ΞΕ. Καὶ μετὰ μοναρχίαν εἴποι τις ἄν, οἶμαι, τὴν ὑπὸ τῶν ὀλίγων δυναστείαν ΣΩ. Πῶς δ' οὔ; ΞΕ. Τρίτον δὲ σχῆμα πολιτείας ἆρ' οὐχ ἡ τῶ πλήθους ἀρχὴ, δημοκρατία τ' ὄνομα κληθεῖσα; ΣΩ. Καὶ πάνυ γε. ΞΕ. Τρεῖς δ' ὄντας μῶν ἃ πέντε τρόπον τινὰ γίγνονται, δύο ἐξ ἑαυτῶν ἄλλα πρὸς αὐτοῖς [2] ὀνόματα τίκτουσαι; ΣΩ. Ποῖα δή; ΞΕ. Πρὸς τὸ βίαιόν πῃ καὶ ἑκάσιον ἀποσκοποῦντες νῦν, καὶ πενίαν καὶ πλοῦτον, καὶ νόμον καὶ ἀνομίαν, ἐν αὐτοῖς γιγνόμενα, διπλῆν ἑκατέραν ταῖν [3] δυοῖν διαιροῦντες, μοναρχίαν μὲν προσαγορεύσιν ὡς δύο παρεχομένην εἴδη [4] δυοῖν ὀνόμασι· τὸ μὲν, [5] τυραννίδι, τὸ δὲ, βασιλικῇ. ΣΩ. Τί μήν; ΞΕ. Τὴν δὲ ὑπὸ ὀλίγων γε ἑκάστοτε κρατηθεῖσαν πόλιν, ἀριστοκρατίᾳ καὶ ὀλιγαρχίᾳ. ΣΩ. Καὶ πάνυ γε. ΞΕ. Δημοκρατίας γε μὴν, ἐάν τ' ἦν βιαίως ἐάν τε ἑκουσίως, τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος ἄρχῃ, καὶ ἐάν τε τὰς νόμους ἀκριβῶς φυλάττον, ἐάν τε μὴ, πάντως τοῦνομα οὐδεὶς αὐτοῖς εἴωθε μεταλλάττειν. ΣΩ. Ἀληθῆ. ΞΕ. Τί ἦν;

7. Ald. Bas. 1. 2 ἄκων· sed ἄκων rescribendum esse vidit, ante Stephanum, Cornarius. Etiam Ficinus sic legit, *Non certe, vt arbitror:* neque res ipsa aliter legi finit.

1. Hic locus, inde a verbis ἆρ' ἡ μοναρχία vsque ad verba ἔωθε μεταλλάττειν; ἀληθῆ, legitur ap. Stobaeum Eclogg. Ethh. c. 41 p. 245, ita, ἆρ' ἡ — δύ' ἐξ αὐτῶν ἄλλα πρὸς ἑαυταῖς — τοῖν δυοῖν' — ὀνόμασιν — ἀριστοκρατίαν [καὶ] ὀλιγαρχίαν; — αὐτῆς ἔωθε —.

2. Ald. Bas. 1. 2 αὐταῖς.

3. Ald. Bas. 1. 2 τοῖν· male.

4. Ald. ἤδη· pro quo iam in Bas. 1. 2 legitur εἴδη, vt in libris Stobaei.

5. In Ald. Bas. 1. 2 desunt verba τὸ μέν· quae Cornarius recte iussit addi.

ἦν; οἰόμεθά τινα τούτων τῶν πολιτειῶν ὀρθὴν εἶναι, τούτοις τοῖς ὅροις ὁρισθεῖσαν, ἐνὶ καὶ ὀλίγοις, καὶ πολλοῖς, καὶ πλούτῳ καὶ πενίᾳ, καὶ τῷ βιαίῳ καὶ ἑκουσίῳ, καὶ μετὰ γραμμάτων καὶ ἄνευ νόμων ξυμβαίνουσαν γίγνεσθαι; ΣΩ. Τί γὰρ δὴ καὶ κωλύει; [6] ΞΕ. Σκόπει δὴ σαφέστερον, τῇδε ἑπόμενος. ΣΩ. Πῇ; ΞΕ. Τῷ ῥηθέντι κατὰ πρώτας, πότερον ἐμμενέομεν, ἢ διαφωνήσομεν; ΣΩ. Τῷ δὴ ποίῳ; λέγεις; ΞΕ. Τὴν βασιλικὴν ἀρχὴν, τῶν ἐπισημῶν εἶναι τινὰ ἔφαμεν, οἶμαι. ΣΩ. Ναί. ΞΕ. Καὶ τούτων γε ἐχὶ ἁπασῶν· ἀλλὰ κριτικὴν δήπου τινὰ καὶ ἐπισατικὴν ἐκ τῶν ἄλλων προειλόμεθα. ΣΩ. Ναί. ΞΕ. Κἀκ τῆς ἐπισατικῆς, τὴν μὲν ἐπ' ἀψύχοις ἔργοις, τὴν δὲ, ἐπὶ ζώοις. καὶ κατὰ τοῦτον δὴ τὸν τρόπον μερίζοντες, δεῦρ' ἀεὶ προεληλύθαμεν, ἐπισήμης ἐκ ἐπιλανθανόμενοι, τὸ δ' ἥτις, ἐχ ἱκανῶς πω δυνάμενοι διακριβώσασθαι. ΣΩ. Λέγεις ὀρθῶς. ΞΕ. Τοῦτο τοίνυν ἆρ' ἐννοοῦμεν, ὅτι τὸν ὅρον, ἐκ ὀλίγως, ἀδὲ πολλῶς· ἀδὲ τὸ ἑκούσιον, ἀδὲ τὸ ἀκούσιον· ἀδὲ πενίαν, ἀδὲ πλοῦτον γίγνεσθαι περὶ αὐτῶν χρεών· ἀλλά τινα ἐπισήμην· εἴπερ ἀκολουθήσομεν τοῖς ἔμπροσθεν. ΣΩ. Ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον μὴ 32
ποιεῖν. ΞΕ Ἐξ ἀνάγκης δὴ νῦν τοῦτο ὕστω σκεπτέον, ἐν τίνι ποτὲ τούτων ἐπισήμην [1] ξυμβαίνει γίγνεσθαι περὶ ἀνθρώπων ἀρχῆς, σχεδὸν τῆς χαλεπωτάτης καὶ μεγίστης κτήσασθαι. δεῖ γὰρ ἰδεῖν αὐτήν· ἵνα θεασώμεθα τίνας ἀφαιρετέον ἀπὸ τοῦ Φρονίμου βασιλέως, οἳ προσποιοῦνται μὲν εἶναι πολιτικοὶ, καὶ πείθουσι πολλοὺς, εἰσὶ δὲ ὀδαμῶς. ΣΩ. Δεῖ γὰρ δὴ [2] ποιεῖν τοῦτο, ὡς ὁ λόγος ἡμῖν προείρηκε. ΞΕ. Μῶν

6. Francof. κωλύει; mendose.

7. Deest in Ald. ΞΕ. male.

1. Ald. Baſ. 1. 2 ἐπιτήμη.

2. Baſ. 2 γή.

ἓν δοκεῖ πλῆθός γε ἐν πόλει ταύτην τὴν ἐπιστήμην δυνατὸν εἶναι κτήσασθαι; ΣΩ. Καὶ πῶς; ΞΕ. Ἀλλ' ἆρα [3] ἐν χιλιάνδρῳ πόλει δυνατὸν ἑκατόν τινας ἢ καὶ πεντήκοντα αὐτῶν ἱκανῶς κτήσασθαι; ΣΩ. [4] Ῥᾴδιον μέν τ' ἂν ἔτω γ' εἴη πασῶν τῶν τεχνῶν. ἴσμεν γὰρ ὅτι χιλίων ἀνδρῶν ἄκροι πεττευταὶ τοσοῦτοι πρὸς τοὺς ἐν τοῖς ἄλλοις Ἕλλησιν ἂν γένοιντό ποτε· μήτι δὴ βασιλεῖς γε. δεῖ γὰρ δὴ τόν γε τὴν βασιλικὴν ἔχοντα ἐπιστήμην, ἂν τ' ἄρχῃ καὶ ἐὰν μὴ, κατὰ τὸν ἔμπροσθεν λόγον ὅμως βασιλικὸν προσαγορεύεσθαι. ΞΕ. [5] Καλῶς ἀπεμνημόνευσας. ἑπόμενον δὲ εἶμαι τούτῳ, τὴν μὲν ὀρθὴν ἀρχὴν περὶ ἕνα τινὰ, καὶ δύο, καὶ παντάπασιν ὀλίγους, δεῖν [6] ζητεῖν, ὅταν ὀρθὴ γίγνηται. [7] ΣΩ. Τί μήν; ΞΕ. Τότε [8] δέ γε, ἐάν τε ἑκόντων, ἐάν τε ἀκόντων, [9] ἄρχωσιν· ἄν τε κατὰ τὰ γράμματα, ἄν τε ἄνευ γραμμάτων· καὶ ἐὰν πλουτοῦντες, ἢ πενόμενοι· νομιστέον, ὥσπερ νῦν ἡγούμεθα, κατὰ τέχνην ἡντινοῦν ἀρχὴν ἄρχοντας. τοὺς ἰατροὺς δὲ οὐκ ἤκιστα νενομίκαμεν, ἐάν τε ἑκόντας, ἐάν τε ἄκοντας, ἡμᾶς ἰῶνται, τέμνοντες, ἢ κάοντες, ἤ τινα ἄλλην ἀλγηδόνα προσάπτοντες. καὶ ἐὰν κατὰ γράμματα, ἢ χωρὶς γραμμάτων· καὶ ἐὰν πένητες ὄντες, ἢ πλούσιοι· πάντως οὐδὲν ἧττον ἰατροὺς φαμὲν, ἔωσπερ ἂν ἐπισταῦντες τέχνῃ, καθαίροντες, εἴτε ἄλλως ἰσχναίνοντες, εἴτε καὶ αὐξάνοντες· ἂν μόνον ἐπ' ἀγαθῷ τῷ τῶν σωμάτων, βελτίω ποιοῦντες ἐκ χειρόνων, σώ-

3. Ald. Bas. 1. 2 ἆρα.

4. In Ald. deest ΣΩ. male.

5. In Ald. ΞΕ. translatum legitur post ἀπεμνημόνευσας· male.

6. Ald. Bas. 1. 2 δεῖ· male.

7. Bas. 2 γίγνεται· mendose.

8. Ald. Bas. 1. 2 τούτοις· vitiose.

9. Ald. ἀκότων.

σώζωσιν οἱ θεραπεύοντες [10] ἕκαστοι τὰ θεραπευόμενα. ταύτῃ φήσομεν, ὡς οἶμαι, καὶ ἐκ ἄλλῃ, τοῦτον ὅρον ὀρθὸν εἶναι μόνον ἰατρικῆς, καὶ ἄλλης ἡσινοσῦν ἀρχῆς. ΣΩ. Κομιδῇ μὲν οὖν. ΞΕ. Ἀναγκαῖον δὴ καὶ 33
πολιτειῶν, ὡς ἔοικε, ταύτην διαφερόντως ὀρθὴν εἶναι καὶ μόνην πολιτείαν, ἐν ᾗ τις ἂν εὑρίσκοι τοὺς ἄρχοντας ἀληθῶς ἐπισήμονας. καὶ ὃ δοκοῦντας μόνον· ἐάν τε κατὰ νόμους, ἐάν τε ἄνευ νόμων, ἄρχωσι· καὶ ἑκόντων, ἢ ἀκόντων· ἢ πενόμενοι, ἢ πλουτοῦντες· τούτων ὑπολογιστέον οὐδὲν ὠφελίμως εἶναι κατ' οὐδεμίαν ὀρθότητα. ΣΩ. Καλῶς. ΞΕ. Καὶ ἐάν τέ γε ἀποκτιννύντες τινὰς ἢ καὶ ἐκβάλλοντες, [1] καθαίρωσιν ἐπ' ἀγαθῷ τὴν πόλιν, εἴτε καὶ ἀποικίας, οἷον σμήνη μελιττῶν ἐκπέμποντές ποι, σμικροτέραν ποιῶσιν· ἢ τινας ἐπεισαγόμενοι ποθὲν ἄλλοθεν ἔξωθεν, πολίτας ποιοῦντες, αὐτὴν αὔξωσιν· ἕωσπερ ἂν ἐπισήμῃ καὶ τῷ δικαίῳ προσχρώμενοι, σώζοντες, ἐκ χείρονος βελτίω ποιῶσι κατὰ δύναμιν ταύτην. τότε καὶ κατὰ τοὺς τοιούτους ὅρους ἡμῖν μόνην ὀρθὴν πολιτείαν εἶναι ῥητέον. ὅσας δὲ ἄλλας λέγομεν, ἐ γνησίως δ' ὄντως ἕσας λεκτέον· ἀλλὰ μεμιμημένας ταύτην, ἀσμένως εὐλόγως λέγομεν, ἐπὶ τὰ καλλίω, τὰς δὲ ἄλλας ἐπὶ τὰ αἰσχίονα μεμιμῆσθαι. ΣΩ. Τὰ μὲν ἄλλα, ὦ ξένε, μετρίως ἔοικεν εἰρῆσθαι· τὸ δὲ καὶ ἄνευ νόμων δεῖν ἄρχειν, χαλεπώτερον ἀκοῦσαι ἐρρήθη. ΞΕ. Σμικρόν γε ἔφθης με ἐρόμενος, ὦ Σώκρατες. ἔμελλον γάρ σε διερωτήσειν ταῦτα. [2] πότερον ἀποδέχῃ πάντα, ἢ τι καὶ δυσ-

10. Ald. Baſ. 1. 2 οἱ θεραπόντες· mendoſe. Stephanus bene repoſuit οἱ θεραπεύοντες, vt legit Ficinus. vertit enim, *qui curant*.

1. Ald. Baſ. 1. 2 ἐκβάλοντες· operarum culpa. id quod vel locus Accentus monſtrat.

2. Marg. Steph. *Malim ταῦτα iungere ſequentibus.* recte. Sed praeiuerat Ficinus

δυσχεραίνεις τῶν λεχθέντων· νῦν δὲ ἤδη φανερὸν, ὅτι τοῦτο βουλησόμεθα τὸ περὶ τῆς τῶν ἄνευ νόμων ἀρχόντων[3] ὀρθότητος διελθεῖν ἡμᾶς. ΣΩ. Πῶς γὰρ οὔ; ΞΕ. Τρόπον μέντοι τινὰ δῆλον, ὅτι τῆς βασιλικῆς ἐστὶν ἡ νομοθετικὴ· τὸ δ' ἄριστον, οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν, ἀλλὰ ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν. οἶσθ' ὅπῃ; ΣΩ. Πῇ δὴ λέγεις; ΞΕ. Ὅτι νόμος οὐκ ἂν ποτε δύναιτο τό, τε ἄριστον καὶ τὸ δικαιότατον ἀκριβῶς ἅμα πᾶσι περιλαβὼν, τὸ βέλτιστον ἐπιτάττειν. αἱ γὰρ ἀνομοιότητες τῶν ἀνθρώπων καὶ τῶν πράξεων, καὶ τὸ μηδέποτε μηδὲν, ὡς εἰπεῖν ἔπος, ἡσυχίαν ἄγειν τῶν ἀνθρωπίνων, οὐδὲν ἐῶσιν ἁπλῶν οὐδενὶ περὶ ἁπάντων καὶ ἐπὶ πάντα[4] τὸν χρόνον ἀποφαίνεσθαι τέχνην οὐδ' ἠντινοῦν. ταῦτα δὴ συγχωρεῖται πως; ΣΩ. Τί μήν; ΞΕ. Τὸν δέ γε νόμον ὁρῶμεν σχεδὸν ἐπ' αὐτὸ τοῦτο ξυντείνοντα, ὥσπερ τινα ἄνθρωπον αὐθάδη καὶ ἀμαθῆ, καὶ μηδὲν ἐῶντα ποιεῖν παρὰ τὴν ἑαυτοῦ τάξιν· μηδ' ἐπερωτᾶν μηδένα, μηδ' ἄν τι νέον ἆρά τῳ[5] ξυμβαίνῃ βέλτιον, παρὰ τὸν λόγον ὃν αὐτὸς ἐπέταξε. ΣΩ. Ἀληθῆ. ποιεῖ γὰρ ἀτεχνῶς, καθάπερ εἴρηκας νῦν, ὁ νόμος ἡμῖν ἑκάστοις. ΞΕ. Οὐκοῦν ἀδύνατον εὖ ἔχειν πρὸς τὰ μηδέποτε ἁπλῶς τὸ διαπαντὸς γιγνόμενον
34 ἁπλῶς. ΣΩ. Κινδυνεύει. ΞΕ. Διὰ τί δή ποτ' ἂν ἀναγκαῖον νομοθετεῖν, ἐπειδήπερ οὐκ ὀρθότατον ὁ νόμος, ἀνευρετέον τοῦτο τὴν αἰτίαν. ΣΩ. Τί μήν; ΞΕ. Οὐκοῦν καὶ παρ' ἡμῖν εἰσί τινες, οἷαι καὶ ἐν ἄλλαις πόλεσιν, ἀθρόων ἀνθρώπων ἀσκήσεις, εἴτε

πρὸς

cinus, cuius Latina in Versione verba ita ordinata leguntur, *Eram enim percontaturus, vtrum haec admittas omnia.* In Baſ. 1. 2 poſt ταῦτα eſt inciſi nota: ſed Stephanus ſequutus eſt hic quoque Aldum.

3. Ald. ἀρχότων· operarum neglegentia.

4. Ald. πάτα· vitioſe.

5. Baſ. 2 ἆρα τῷ· male.

πρὸς δρόμον, εἴτε πρὸς ἄλλό τι, Φιλονεικίας ἕνεκα; ΣΩ. Καὶ πάνυ γε πολλαί. ΞΕ. Φέρε νῦν, ἀναλάβωμεν πάλιν μνήμῃ τὰς τῶν τέχνῃ γυμναζόντων ἐπιτάξεις ἐν ταῖς τοιαύταις ἀρχαῖς.[1] ΣΩ. Τὸ ποῖον; ΞΕ. Ὅτι λεπτυργεῖν ἐκ ἐγχωρεῖν ἡγοῦνται καθ' ἕνα ἕκαστον, τῷ σώματι τὸ προσῆκον ἑκάστῳ προστάττοντες ἀλλὰ παχύτερον οἰόμενοι δεῖν ὡς ἐπιτοπολὺ καὶ ἐπὶ πολὺς τὴν τῶ λυσιτελοῦντος τοῖς σώμασι ποιεῖσθαι τάξιν. ΣΩ. Καλῶς. ΞΕ. Διὸ δή γε καὶ ἴσας πόνους νῦν διδόντες ἀθρόοις, ἅμα μὲν [2] ἐξορμῶσιν, ἅμα δὲ καταπαύσει δρόμε καὶ πάλης, καὶ πάντων τῶν κατὰ τὰ σώματα πόνων. ΣΩ. Ἔστι ταῦτα. ΞΕ. Καὶ τὸν νομοθέτην τοίνυν ἡγώμεθα, τὸν τοῖς ἀγέλαις ἐπισατήσοντα τῷ δικαίῳ πέρι καὶ τῶν πρὸς ἀλλήλους ξυμβολαίων, μήποθ' ἱκανὸν γενήσεσθαι, πᾶσιν ἀθρόοις προστάττοντα, ἀκριβῶς ἑνὶ ἑκάστῳ τὸ προσῆκον ἀποδιδόναι. ΣΩ. Τὸ γῶν εἰκός.[3] ΞΕ. Ἀλλὰ τὸ [4] τοῖς πολλοῖς γε, οἶμαι, καὶ ὡς ἐπιτο-

1. Marg. Steph. *In quodam vet. Cod.* μάχαις, *non* ἀρχαῖς. *Affertur alioqui et datiuus* ἀσκήσεσι *post* τοιαύταις. Scilicet ἀσκήσεσι erat Cornarii coniectura: sed μάχαις idem Cornarius scriptum repererat in Codice Haſſiſteniano: quam lectionem ipſe iudicabat eſſe omnium veriſſimam, ita vt per μάχας intellegerentur *exercitationes*, quas contentionis gratia fieri Hoſpes ante dixiſſet. Aſſentior prorſus. Certe ἀρχαῖς commodum ſenſum non parit. Ficinus videtur verba ἐν ταῖς τοιαύταις ἀρχαῖς coniunxiſſe cum verbis τῶν τέχνῃ γυμναζόντων. vertit enim, *Age nunc referamus memoria praecepta illorum, qui arte quadam* gymnaſiis praeſunt.

2. Francof. μὲν καί male.

3. Stephanus, *Malim*, inquit, τοῦτο γῶν· *niſi dicendum ſit, τὸ hic idem valere, quod* τοῦτο. Atque hoc verum eſſe putamus.

4. Stephanus expungendum putabat Articulum τό. Non aſſentior. nam refertur ad προσῆκον. Sed pro

ϑήσειν

τοπολὺ, καί πως ἑτοσὶ παχυτέρως ἑκάστοις τὸν νόμον θήσειν, καὶ ἐν γράμμασιν ἀποδιδὲς, καὶ ἐν ἀγραμμάτοις, πατρίοις δὲ ἔθεσι, νομοθετῶν. ΣΩ. Ὀρθῶς. ΞΕ. Ὀρθῶς μέντοι. πῶς γὰρ ἄν τις ἱκανὸς γένοιτ' ἄν ποτε, ὦ Σώκρατες, ὥσε ἀεὶ διὰ βίε παρακαθήμενος ἑκάστῳ, δι' ἀκριβείας προστάττειν τὸ προσῆκον; ἐπεὶ τᾶτ' ἂν, δυνατὸς ὢν, ὡς οἶμαι, τῶν τὴν βασιλικὴν ἐστισᾶν ὄντως ἐπισήμην εἰληφότων, σχολῇ ποτ' ἂν ἑαυτῷ θεῖτ' ἐμποδίσματα, γράφων τὰς λεχθέντας τέτες νόμες. ΣΩ. Ἐκ τῶν νῦν γᾶν, ὦ ξένε, εἰρημένων. ΞΕ. Μᾶλλον δέ γε, ὦ βέλτισε, ἐκ τῶν μελλόντων ῥηθήσεσθαι. ΣΩ. Τίνων δή; ΞΕ. Τῶν τοιῶνδε. εἴπομεν [6] γὰρ δὴ πρός γε ἡμᾶς αὐτὲς, ἰατρὸν μέλλοντα ἢ καί τινα γυμναστικὸν ἀποδημεῖν, [7] καὶ ἀπέσεσθαι τῶν θεραπευομένων συχνὸν, ὡς οἴοιτο, χρόνον, μὴ μνημονεύσειν οἰηθέντα τὰ προσταχθέντα τὲς γυμναζομένες ἢ τὲς κάμνοντας, ὑπομνήματα γράφειν ἂν ἐθέλειν αὐτοῖς. ἢ πῶς; ΣΩ. Οὕτω. ΞΕ. Τί δέ; εἰ παρὰ δόξαν, ἐλάττω χρόνον ἀποδημήσας, ἦλθοι πάλιν, ἆρ' ἐκ ἂν, παρ' ἐκεῖνα τὰ γράμματα τολμήσειεν ἄλλα ὑποτίθεσθαι, ξυμβαινόντων ἄλλων βελτιόνων τοῖς κάμνεσι, διὰ πνεύματα, ἢ τι καὶ ἄλλο, παρὰ τὴν ἐλπίδα τῶν ἐκ Διὸς ἑτέρως πως τῶν ἐωθότων γενόμενα; καρτερῶν δ' ἂν ἡγοῖτο δεῖν μὴ ἐκβαίνειν τὰ ἀρχαῖα ποτὲ νομοθετηθέντα, μήτε αὐτὸν προστάττοντα ἄλλα, μήτε τὸν κάμνοντα ἕτερα τολμῶντα

θήσειν reponendum esse θήσει recte censuit, Ficino praeeunte idem Stephanus, qui etiam ἀγραμμάτοις tendere ait ad ἔθεσι.

5. In Ald. desunt verba ΞΕ. Ὀρθῶς· quae iam in Bas. 1. 2 recte addita sunt. Etiam Ficinus ea expressit in Versione Latina.

6. Stephanus coni. ἔπωμεν· vere, opinor.

7. Bas. 2 ἀποδυμεῖν.

τα παρὰ τὰ γραφέντα δρᾶν· ὡς ταῦτα, ὄντα ἰατρικὰ καὶ ὑγιεινά· τὰ δὲ ἑτέρως γιγνόμενα, νοσώδη τε καὶ ἀν ἔντεχνα; ἢ πᾶν τὸ τοιοῦτον ἔν γε ἐπιστήμῃ ξυμβαῖνον καὶ ἀληθεῖ τέχνῃ περὶ ἅπαντα, παντάπασι γέλως ἂν ὁ μέγιστος γίγνοιτο τῶν νομοθετημάτων; ΣΩ. Παντάπασι μὲν ἔν. ΞΕ. Τῷ δὲ τὰ δίκαια καὶ ἄδικα, καὶ καλὰ [8] καὶ αἰσχρὰ, καὶ ἀγαθὰ καὶ κακὰ, γράψαντι, καὶ ἄγραφα νομοθετήσαντι ταῖς τῶν ἀνθρώπων ἀγέλαις, ὁπόσαι κατὰ πόλιν ἐν ἑκάσαις νομεύονται κατὰ τὰς τῶν γραφάντων νόμους, ἂν ὁ μετὰ τέχνης γράψας, ἤ τις ἕτερος ὅμοιος ἀφίκηται, μὴ ἐξέσω δὴ παρὰ ταῦτα ἕτερα προστάττειν; ἢ καὶ τοῦτο τὸ ἀπόρρητον, ἐδὲν ἧττον ἂν ἐκείνῃ τῇ ἀληθείᾳ γελοῖον φαίνοιτο; ΣΩ. Τί μήν; ΞΕ. Οἶσθ' ἔν ἐπὶ τῷ τοιούτῳ λόγον τὸν παρὰ 35
τῶν πολλῶν λεγόμενον; ΣΩ. Οὐκ ἐννοῶ νῦν γ' ἔτω. ΞΕ. Ἀλλὰ μὴν ἐυπρεπής. Φασὶ γὰρ δὴ δεῖν, εἴτις γιγνώσκει παρὰ τὰς τῶν ἔμπροσθεν βελτίους νόμους, νομοθετεῖν, τὴν ἑαυτῆ πόλιν ἕκασον πείσαντα· ἄλλως δὲ μή. ΣΩ. Τί ἔν ἐκ ὀρθῶς; [2] ΞΕ. Ἴσως. ἂν δ' ἔν τις μὴ πείθων βιάζηται τὸ βέλτιον, ἀπόκριναι τί τἄνομα τῆς βίας ἔσαι. μὴ μέντοι πω· περὶ δὲ τῶν ἔμπροσθεν, πρότερον. ΣΩ. Ποῖον δὴ λέγεις; ΞΕ. Ἄν τις ἄρα μὴ πείθων τὸν ἰατρευόμενον, ἔχων δὲ ὀρθῶς τὴν τέχνην, παρὰ τὰ γεγραμμένα τὸ βέλτιον ἀναγκάζῃ δρᾶν παῖδα, ἢ τινα ἄνδρα, ἢ καὶ γυναῖκα, τί τἄνομα τῆς βίας ἔσαι ταύτης; ἆρ' ἃ πᾶν μᾶλλον ἢ τὸ παρὰ τὴν τέχνην λεγόμενον ἁμάρτημα τὸ [3] νοσῶδες; καὶ πάντα ὀρθῶς εἰπεῖν

8. Ald. καλά.

1. Marg. Steph. *Legitur etiam* καὶ μὴν ἐυπρεπής. Videlicet in Baſ. 2. recte.

2. Stephanus male- bat, Τί ἔν; ἐκ ὀρθῶς. recte.

3. Stephanus coni. λέγοιμεν, vt interpungeretur poſt τέχνην, et pro ἁμάρτημα τὸ legeretur ἁμάρτημά τι.

εἰπεῖν ἐσι πρότερον τῷ βιασθέντι περὶ τὸ τοιῦτον, πλὴν ὅτι νοσώδη καὶ ἄτεχνα πέπονθεν ὑπὸ τῶν βιασαμένων ἰατρῶν; ΣΩ. Ἀληθέσατα λέγεις. ΞΕ. Τί δὲ ἡμῖν δὴ τὸ παρὰ τὴν πολιτικὴν τέχνην ἁμάρτημα λεγόμενον ἐσίν; ἆρ' ὃ τὸ αισχρὸν, καὶ τὸ κακὸν, καὶ ἄδικον; ΣΩ. Παντάπασί γε. ΞΕ. Τῶν δὴ βιασθέντων παρὰ τὰ γεγραμμένα καὶ πάτρια, δρᾷν ἕτερα δικαιότερα καὶ ἀμείνω καὶ καλλίω τῶν ἔμπροσθεν, φέρε, τὸν τῶν τοιῦτων αὖ ψόγον περὶ τῆς τοιαύτης βίας, ἆρ', εἰ μέλλει μὴ καταγελασότατος εἶναι πάντων, πάντα αὐτῷ μᾶλλον λεκτέον ἑκάσοτε, πλὴν ὡς αἰσχρὰ καὶ ἄδικα καὶ κακὰ πεπόνθασιν οἱ βιασθέντες ὑπὸ τῶν βιασαμένων; ΣΩ. Ἀληθέσατα λέγεις. ΞΕ. Ἀλλ' ἆρα, [4] ἐὰν μὲν πλέσιος ὁ βιασάμενος ᾖ, δίκαια· ἂν δ' ἄρα πένης, ἄδικα τὰ βιασθέντα ἐσίν; ἢ, κἂν πείσας κἂν μὴ πείσας τις, πλέσιος ἢ πένης, ἢ κατὰ γράμματα ἢ παρὰ γράμματα, δρᾷ τὰ ξύμφορα, [5] τᾶτον δεῖ καὶ περὶ ταῦτα τὸν ὅρον εἶναι, τόν γε ἀληθινώτατον ὀρθῆς πόλεως διοικήσεως, ὃν [6] ὁ σοφὸς καὶ ἀγαθὸς ἀνὴρ διοικήσει τὸ τῶν ἀρχομένων. ὥσπερ [7] ὁ κυ-

4. Ald. Baſ. 1. 2 ἄρα.

5. Marg. Steph. *Agnoſcit et Ficinus hanc lectionem,* δρᾷ τὰ ξύμφορα, τᾶτον δεῖ καὶ κ. λ., *quum in ſuperioribus editionibus male ſcriptum ſit,* δρᾷ μὴ ξύμφορα, ἢ ἀξύμφορα, *item* δὴ *pro* δεῖ. recte. In Ald. Baſ. 1. 2 legitur ita, vt Stephanus oſtendit in illis legi. Verum quoque eſt, ſuperiorem illam lectionem expreſſam eſſe a Ficino in Verſione Latina; quippe in qua eſt, *modo vtilia inducat, dicendum eſt* —. Sed vnde tu hauſiſti, Stephane, alteram lectionem? e vetere quodam Codice? Non opinor: immo e Cornarii Eclogis. Cornarius enim ibi locum ita, vt tu edidiſti, conſtituendum docuit.

6. Hoc eſt, καθ' ὃν, vt Stephanus bene monuit.

7. Stephanus coni. καὶ ὥσπερ.

κυβερνήτης, τὸ τῆς νεὼς καὶ ναυτῶν ἀεὶ ξυμφέρον παραφυλάττων, ἀγράμματα τιθεὶς, ἀλλὰ τὴν τέχνην νόμον παρεχόμενος, σώζει τὰς συνναύτας· ἕτω καὶ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον παρὰ τῶν ἕτως ἄρχειν δυναμένων ὀρθὴ γίγνοιτ' ἂν πολιτεία, τὴν τῆς τέχνης ῥώμην τῶν νόμων παρεχομένων κρείττω.[8] καὶ πάντα ποιοῦσι τοῖς ἔμφρουσιν ἄρχουσιν ὀκ ἔστιν ἁμάρτημα, μέχρι περ ἂν ἓν μέγα φυλάττωσι, τὸ μετὰ νοῦ καὶ τέχνης δικαιότατον ἀεὶ διανέμοντες τοῖς ἐν τῇ πόλει· σώζειν τε αὐτοὺς εἰδέναι τε ὧσι καὶ ἀμείνους ἐκ χειρόνων ἀποτελεῖν κατὰ τὸ δυνατόν. ΣΩ. Οὐκ ἔς' ἀντειπεῖν παρά γε ἃ νῦν εἴρηται. ΞΕ. Καὶ μὴν καὶ πρὸς ἐκεῖνα ὠδὲ[9] ἀντιρρητέον. ΣΩ. Τὰ 36
ποῖα εἶπες; ΞΕ. Ὡς ὀκ ἄν ποτε πλῆθος ὠδ' ὡντινωνοῦν, τὴν τοιαύτην λαβὸν ἐπιστήμην, οἵοντ' ἂν γένοιτο μετὰ νοῦ διοικεῖν πόλιν· ἀλλὰ περὶ σμικρόν τε καὶ ὀλίγον καὶ τὸ ἓν ἔστι ζητητέον τὴν μίαν ἐκείνην πολιτείαν τὴν ὀρθὴν, τὰς δ' ἄλλας μιμήματα θετέον, ὥσπερ καὶ ὀλίγον πρότερον ἐρρήθη· τὰς μὲν, ἐπὶ τὰ καλλίονα, τὰς δὲ, ἐπὶ τὰ αἰσχίω μιμουμένας ταύτην. ΣΩ. Πῶς τί τοῦτ' εἴρηκας; ὠδὲ γὰρ ἄρτι δῆθεν κατέμαθον τὸ περὶ τῶν μιμημάτων.[2]
ΞΕ.

8. Ald. κράπτω.

9. Stephanus malebat ὠδέ· recte, credo.

1. Stephanus post particulam πῶς sistendam putabat orationem. recte. At saepissime sic coniungi solent duae interrogationes a Platone, vt ostendimus alibi: qui ea in re sequutus est consuetudinem sermonis cotidiani, vid. ad Soph. f. 45, 5.

2. Ita edidimus e Paf. 2, pro κατέμαθον περὶ τῶν [illegible]των, vt legitur in Ald. Bas. 1, Steph. Nam vt rem ipsam et leges Grammaticas videbamus inferi iubere Articulum τὸ, ita nec Ficinum credebamus aliter scriptum suis in libris inuenisse vertit enim, *neque enim, quod de imitando paulo ante dixisti, satis tum intellexi.*

ΞΕ. Καὶ μὴν ὁ Φαῦλόν γε, ἂν κινήσας τὶς τοιοῦτον τὸν λόγον αὐτῷ καταβάλῃ, [3] καὶ μὴ διελθὼν ἐνδείξηται τὸ νυνὶ γιγνόμενον ἁμάρτημα περὶ αὐτό. ΣΩ. Ποῖον δή; ΞΕ. Τοιόνδέ τι δεῖ γε ζητεῖν, ὃ πάνυ ξύνηθες, ὃδὲ ῥᾴδιον ἰδεῖν· ὅμως μὴν πειρώμεθα λαβεῖν αὐτό. Φέρε γάρ· ὀρθῆς ἡμῖν μόνης ἔσης ταύτης τῆς πολιτείας, ἣν εἰρήκαμεν, οἶσθ' ὅτι τὰς ἄλλας δεῖ τοῖς ταύτης συγγράμμασι χρωμένας, ἵνα σώζεσθαι, δρώσας τὸ νῦν ἐπαινέμενον, καίπερ ὂν ὀρθότατον ὄν; ΣΩ. Τὸ ποῖον, ΞΕ. Τὸ παρὰ τὰς νόμους μηδὲν μηδένα τολμᾶν ποιεῖν τῶν ἐν τῇ πόλει· τὸν τολμῶντα δὲ, θανάτῳ ζημιῶσθαι καὶ πᾶσι τοῖς ἐσχάτοις. καὶ τοῦτ' ἔστιν ὀρθότατα καὶ κάλλιστ' ἔχον, ὡς δεύτερον, ἐπειδὰν τὸ πρῶτον τὶς μεταθῇ τὸ νῦν δὴ ῥηθέν. ᾧ δὲ τρόπῳ γεγονός ἐστι τοῦτο ὃ δὴ δεύτερον ἐφήσαμεν, διαπε-
37ρανώμεθα. ἦ γάρ; ΣΩ. Πάνυ μὲν ἔν. ΞΕ. Εἰς δὴ τὰς εἰκόνας ἐπανίωμεν πάλιν, αἷς ἀναγκαῖον ἀπεικάζειν ἀεὶ τοὺς βασιλικοὺς ἄρχοντας. ΣΩ. Ποίας; ΞΕ. Τὸν γενναῖον κυβερνήτην, καὶ τὸν ἑτέρων πολλῶν ἀντάξιον ἰατρόν. κατίδωμεν γὰρ δή τι σχῆμα ἐν τούτοις αὐτοῖς πλασάμενοι. ΣΩ. Ποῖόν τι; ΞΕ. Τοιόνδε, οἷον εἰ πάντες περὶ αὐτῶν διανοηθείημεν ὅτι δεινότατα ὑπ' αὐτῶν πάσχομεν. ἐν μὲν γὰρ ἂν ἐθελήσωσιν ἡμῶν τούτων ἑκάτεροι σώζειν, ὁμοίως δὴ σώζεσιν· ὃν δ' ἂν λωβᾶσθαι [1] βληθῶσι, λωβῶνται, τέμνοντες καὶ καίοντες· [2] καὶ προστάττοντες ἀναλώματα φέρειν παρ' ἑαυτούς, οἷον φόρους· ὧν σμικρὰ μὲν εἰς τὸν κάμνοντα καὶ ὀδὲν ἀναλίσκουσι, τοῖς δ' ἄλλοις αὐτοί τε καὶ οἱ οἰκέται χρῶνται. καὶ δὴ καὶ τελευτῶντες, ἢ παρὰ ξυγγενῶν, ἢ πα-

3. Ald. Baſ. 1 καταβάλει· male: quum ſequatur ἐνδείξηται.

1. Ald. Baſ. 1. 2 λωβᾶσθαι· vitioſe.

ἢ παρὰ τινῶν ἐχθρῶν τῶ κάμνοντος χρήματα μισθὸν λαμβάνοντες ἀποκτιννύασιν. οἵ τ' αὖ κυβερνῆται μυρία ἕτερα τοιαῦτα ἐργάζονται· καταλιπόντες τε ἔκ τινος ἐπιβλῆς ἐν ταῖς ἀναγωγαῖς ἐρήμης, καὶ σφάλματα ποιοῦντες ἐν τοῖς πελάγεσιν, ἐκβάλλουσιν εἰς τὴν θάλατταν, καὶ ἕτερα κακουργῶσιν. εἰ δὴ ταῦτα διανοηθέντες, βουλευσαίμεθα περὶ αὐτῶν βουλήν τινα,[3] τούτων τῶν τεχνῶν μηκέτι ἐπιτρέπειν ἄρχειν αὐτοκράτορι μηδετέρα,[4] μήτ' ἂν δούλων, μήτ' ἐλευθέρων· ξυλλέξαι δὲ ἐκκλησίαν ἡμῶν αὐτῶν, ἢ ξύμπαντα τὸν δῆμον, ἢ τοὺς πλουσίους μόνον· ἐξεῖναι δὲ καὶ ἰδιωτῶν καὶ τῶν ἄλλων δημιουργῶν περί τε πλοῦ καὶ περὶ νόσων γνώμην ξυμβάλλεσθαι, καθότι χρὴ τοῖς φαρμάκοις ἡμᾶς καὶ τοῖς ἰατρικοῖς ὀργάνοις πρὸς τοὺς κάμνοντας χρῆσθαι· καὶ δὴ καὶ τοῖς πλοίοις τε αὐτοῖς καὶ τοῖς ναυτικοῖς ὀργάνοις εἰς τὴν τῶν πλοίων χρείαν, καὶ περὶ τοὺς κινδύνους τούς τε πρὸς αὐτὸν τὸν πλοῦν, ἀνέμων καὶ θαλάττης πέρι, καὶ πρὸς τὰς τοῖς λῃσταῖς ἐντεύξεις· καὶ ἐὰν ναυμαχεῖν ἄρα δέῃ πω μακροῖς πλοίοις πρὸς ἕτερα τοιαῦτα. τὰ δὲ τῷ πλήθει δόξαντα περὶ τούτων, εἴτε τινῶν ἰατρῶν καὶ κυβερνητῶν, εἴτ' ἄλλων ἰδιωτῶν ξυμβουλευόντων, γράψαντας ἐν κύρβεσι[5] τισὶ καὶ σήλαις, τὰ δὲ ἄγρα-

2. Leg. κάοντες, vt supra. Sed librarii recentiores huius quoque verbi, vt multorum aliorum, formam Atticam in communem mutarunt locis innumeris.

3. Ita interpunximus, admonitu Stephani, vt lectores viderent eo facilius, verba τούτων τῶν τεχνῶν cohaerere cum μηδετέρα.

4. Ald. Bas. 1. 2 μηδ' ἑτέρα.

5. Timaeus Gloss. Κύρβις· σήλη τρίγωνος πυραμοειδὴς νόμους ἔχουσα περὶ θεῶν. Schol. Augustanus ad h. l. κύρβεσι· τρίγωνοι πίνακες ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι· — ἄξονες δὲ τετράγωνοι ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν· τινὲς δὲ ἀδιάφορα ταῦτα φασίν. Vid. Ammonius in

Φα[6] πάτρια θεμένης ἔθη, κατὰ ταῦτ' ἤδη τὸν ἔπειτα χρόνον ναυτίλλεσθαι, καὶ τὰς τῶν καμνόντων θεραπείας ποιεῖσθαι. ΣΩ. Κομιδῇ γε εἴρηκας ἄτοπα. ΞΕ. Κατ' ἐνιαυτὸν δέ γε ἄρχοντας καθίσασθαι τῶ πλήθους,[7] εἴτε ἐκ τῶν πλεσίων, εἴτε ἐκ τῆ δήμε παντὸς, ὃς ἂν κληρέμενος λαγχάνῃ. τὰς δὲ κατασάντας ἄρχοντας, ἄρχειν κατὰ τὰ γράμματα,[8] κυβερνῶντας τὰς ναῦς, καὶ τὰς κάμνοντας ἰωμένης. ΣΩ. Ταῦτ' ἔτι χαλεπώτερα.
38 ΞΕ. Θεῶ δὴ καὶ τὸ μετὰ ταῦτα[2] ἑπόμενον. ἐπειδὰν γὰρ δὴ τῶν ἀρχόντων ἑκάστοις ὁ ἐνιαυτὸς ἐξέλθῃ, δεήσει, δικασήρια καθισάντας ἀνδρῶν, ἢ τῶν πλεσίων ἐκ προκρίσεως, ἢ ξύμπαντος αὖ τῆ δήμε, τὰς λαχόντας εἰς τάτας εἰσάγειν τὰς ἄρξαντας, καὶ εὐθύνειν· κατηγορεῖν δὲ τὸν βελόμενον, ὡς ἃ κατὰ τὰ γράμματα τὸν ἐνιαυτὸν ἐκυβέρνησε τὰς ναῦς, οὐδὲ κατὰ τὰ παλαιὰ τῶν προγόνων ἔθη. τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ τῶν τὰς κάμνοντας ἰωμένων. ὧν δ' ἂν καταψηφισθῇ,[3] τιμᾶν ὅ, τι[4] χρὴ παθεῖν αὐτῶν τινὰς, ἢ ἀποτίνειν. ΣΩ. Οὐκῆν ὅγε θέλων καὶ ἑκὼν ἐν τοῖς τοιάτοις ἄρχειν, δικαιότατ' ἂν ὀτιῆν πάσχοι καὶ ἀποτίνοι. ΞΕ. Καὶ τοίνυν ἔτι δεήσει θέσθαι νόμον ἐπὶ πᾶσι τάτοις, ἂν τις κυβερνητικὴν καὶ τὸ ναυτικὸν, ἢ τὸ ὑγιεινὸν καὶ ἰατρικῆς ἀλήθειαν περὶ πνεύματά τε καὶ θερμὰ[5] καὶ ψυχρὰ ζητῶν φαίνηται, παρὰ τὰ γράμματα, καὶ σο-

in v. ἄξονες, et Suidas in v. κύρβεις.

6. Ald. Baſ. 1. 2 τὰ δὲ καὶ ἄγραφα.

7. Ald. πλήτες.

8. Stephanus inciſi notam poni malebat poſt ἄρχειν, vt verba κατὰ τὰ γράμματα iungerentur ſequentibus.

1. Ald. θεῶ.

2. Ald. Baſ. 1. 2 μετα ταῦτα.

3. Ald. καταψυφισθῇ.

4. Ald. Baſ. 1. 2 ὅτι male.

5. Ald. Baſ. 1 θερμὰν καὶ ψυχράν· mendoſe.

σοφιζόμενος ὁτιῶν περὶ τὰ τοιαῦτα· πρῶτον μὲν, μήτε ἰατρικὸν αὐτὸν μήτε κυβερνητικὸν ὀνομάζειν, ἀλλὰ μετεωρολόγον ἀδολέσχην [6] τινὰ σοφιστήν· εἶθ' [7] ὡς διαφθείροντα ἄλλους νεωτέρους, καὶ ἀναπείθοντα ἐπιτίθεσθαι κυβερνητικῇ καὶ ἰατρικῇ, μὴ κατὰ νόμους, ἀλλ' αὐτοκράτορας ἄρχειν τῶν πλοίων καὶ τῶν νοσούντων, γραψάμενον εἰσάγειν τὸν βουλόμενον, οἷς ἔξεστιν, εἰς δή τι δικαστήριον. ἂν δὲ παρὰ τοὺς νόμους καὶ τὰ γεγραμμένα δόξῃ πείθειν εἴτε νέους, [8] εἴτε πρεσβύτας, κολάζειν τοῖς ἐσχάτοις. οὐδὲν γὰρ δεῖν [9] τῶν νόμων εἶναι σοφώτερον. οὐδένα γὰρ ἀγνοεῖν τό, τε ἰατρικὸν καὶ τὸ ὑγιεινὸν, οὐδὲ τὸ κυβερνητικὸν καὶ ναυτικόν. ἐξεῖναι γὰρ τῷ βουλομένῳ, μανθάνειν γεγραμμένα καὶ πάτρια ἤθη [10] κείμενα. ταῦτα δὴ περί τε ταύτας τὰς ἐπιστήμας εἰ γίγνοιτο ἔτως, ὡς [11] λέγομεν, ὦ Σώκρατες, καὶ στρατηγικῆς, καὶ ξυμπάσης ἡσυχοσῦν θηρευτικῆς, καὶ γραφικῆς ξυμπάσης ὁτιῶν μέρος, μιμητικῆς, καὶ τεκτονικῆς, καὶ ξυόλης ὁποιασῶν σκευωρίας, ἢ καὶ γεωργίας, καὶ τῆς περὶ τὰ φυτὰ ξυόλης τέχνης· ἢ καί τινα ἱπποφορβίαν [12] αὖ κατὰ συγγράμματα θεασάμεθα γιγνομένην, ἢ σύμπασαν [13] ἀγελαιοκομικὴν, ἢ μαντικὴν, ἢ πᾶν ὅ,

6. Stephanus coni. μετεωρολόγον καὶ ἀδολέσχην, praeeunte Verſione Ficini Latina, in qua eſt, *curioſum quendam delirumque ſophiſtam:* ſaltem poſt μετεωρολόγον interpungendum putabat. Atque hanc poſteriorem rationem arbitror veram eſſe.

7. Ald. ἄδ'.

8. Baſ. 2 νέες· vitioſe.

9. Ald. Baſ. 1. 2 δᾶ· male.

10. Francof. ἔτι· mendoſe.

11. In Baſ. 2 deeſt ὡς· male.

12. Francof. ἱπποφορίαν· mendoſe.

13. Baſ. 2 ξύμπασαν· recte.

τι[14] μέρος διακονικὴ περιείληφεν, ἢ πεττείαν,[15] ἢ ξύμπασαν ἀριθμητικὴν ψιλήν, εἴτε ἐπίπεδον, εἴτε ἐν βάθεσιν, εἴτε ἐν τάχεσιν ἓσάν πᾳ· περὶ ἅπαντα ταῦτα ἕτω πραττόμενα, τί ποτ' ἂν φανείη, κατὰ τὰ συγγράμματα γιγνόμενα καὶ μὴ κατὰ τέχνην; ΣΩ. Δῆλον ὅτι πᾶσά τε αἱ τέχναι παντελῶς ἂν ἀπόλοιντ' ἡμῖν, καὶ ἀδὲ εἰσαῦθις γένοιτ' ἄν ποτε διὰ τὸν ἀποκωλύοντα τᾶτον ζητεῖν νόμον. ὥστε ὁ βίος, ὢν καὶ νῦν χαλεπὸς, εἰς τὸν χρόνον
39 ἐκεῖνον ἀβίωτος γίγνοιτ' ἂν τοπαράπαν. ΞΕ. Τί δὲ τόδε; εἰ κατὰ συγγράμματα μὲν ἀναγκάζοιμεν ἕκαστον γίγνεσθαι τῶν εἰρημένων, καὶ τοῖς συγγράμμασιν ἐπισατεῖν ἡμῶν τὸν χειροτονηθέντα, ἢ λαχόντα ἐκ τύχης· ἕτος δὲ, μηδὲν φροντίζων τῶν γραμμάτων, ἢ κέρδος ἕνεκά τινος, ἢ χάριτος ἰδίας, παρὰ ταῦτα ἐπιχειροῖ δρᾶν ἕτερα, μηδὲν γινώσκων; ἆρα ἀ τᾷ κακᾷ τᾷ πρόσθεν μεῖζον ἂν ἔτι τᾶτο γίγνοιτο κακόν; ΣΩ. Ἀληθέστατά γε. ΞΕ. Παρὰ γὰρ, οἶμαι, τὰς νόμως τὰς ἐκ πείρας πολλῆς κειμένας, καί τινων ξυμβάλων ἕκαστα χαριέντως ξυμβαλευσάντων καὶ ξυμπεισάντων θέσθαι τὸ πλῆθος, ὁ παρὰ ταῦτα τολμῶν δρᾶν, ἁμαρτήματος ἁμάρτημα πολλαπλάσιον ἀπεργαζόμενος, ἀνατρέποι πᾶσαν ἂν πρᾶξιν ἔτι μειζόνως τῶν ξυγγραμμάτων. ΣΩ. Πῶς δ' ἀ μέλει; ΞΕ. Διὰ ταῦτα δὴ τοῖς περὶ ὀτᾶν[3] νόμως καὶ ξυγγράμματα τιθεμένοις, δεύτερος πλᾶς, τὸ παρὰ ταῦτα μήτε ἕνα μήτε πλῆθος μηδὲν μηδέποτε ἐᾶν δρᾶν μηδ' ὁτιᾶν. ΣΩ. Ὀρθῶς. ΞΕ. Ουκᾶν μιμήματα μὲν ἂν ἑκάσων ταῦτα

14. Ald. Baſ. 1. 2 ὅτι.

15. Timaeus Gloſſ. πεττία· ἡ διὰ ψήφων παιδιά —.

1. Ald. Baſ. 1. 2 ἐπιχειρᾷ· male. Ficinus, *tentet.*

2. Ald. Baſ. 1. 2 ἀνατρέπᾳ· male. Ficinus, *confundit atque peruertit.*

3. Baſ. 2 ὁτονᾶν· vitioſe.

ταῦτα εἴη τῆς ἀληθείας, τὰ παρὰ τῶν εἰδότων εἰς δύναμιν εἶναι γεγραμμένα. ΣΩ. Πῶς δ' οὔ; ΞΕ. Καὶ μὴν τόν γε εἰδότα ἔφαμεν, τὸν ὅλως πολιτικὸν, εἰ μεμνήμεθα, ποιήσειν [4] τῇ τέχνῃ πολλὰ εἰς τὴν αὐτοῦ πρᾶξιν, τῶν γραμμάτων οὐδὲν φροντίζοντα, ὁπόταν ἄλλ' αὐτῷ βελτίω δόξῃ παρὰ τὰ γεγραμμένα καὶ ἐπεσαλμένα ἅπασι τισίν. ΣΩ. Ἔφαμεν γάρ. ΞΕ. Οὐκοῦν ἀνὴρ ὁσισοῦν εἷς, ἢ πλῆθος ὁτιοῦν, οἷς ἂν νόμοι κείμενοι τυγχάνωσι, παρὰ ταῦτα ὅ, τι ἂν ἐπιχειρήσωσι ποιεῖν ὡς βέλτιον, ἕτερον ἂν, ταυτὸν δρῶσι καὶ δύναμιν, ὅπερ ὁ ἀληθινὸς ἐκεῖνος. ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Ἆρ' οὖν εἰ μὲν ἀνεπιστήμονες ὄντες τὸ τοιοῦτον δρῷεν, μιμεῖσθαι μὲν ἂν ἐπιχειροῖεν τὸ ἀληθὲς, μιμοῖντ' ἂν μέντοι πᾶν κακῶς· εἰ δ' ἔντεχνοι, τοῦτο ἂν εἴη μίμημα, [7] ἀλλ' αὐτὸ τὸ ἀληθέστατον ἐκεῖνο. ΣΩ. Πάντως δε. ΞΕ. Καὶ μὴν ἔμπροσθέν γε ὡμολογημένον [8] ἡμῖν κεῖται, μηδὲν πλῆθος μηδ' ἡντινοῦν λαβεῖν δυνατὸν εἶναι τέχνην. ΣΩ. Κεῖται γὰρ οὖν. ΞΕ. Οὐκοῦν εἰ μέν ἐστι βασιλικὴ τις τέχνη, τὸ τῶν πλουσίων πλῆθος καὶ ὁ ξύμπας δῆμος ἂν οὐ ποτε λάβοι τὴν πολιτικὴν ταύτην ἐπιστήμην. ΣΩ. Πῶς γὰρ ἄν; ΞΕ. Δεῖ δὴ τὰς τοιαύτας γε, ὡς ἔοικε, πολιτείας, εἰ μέλλουσι καλῶς τὴν ἀληθινὴν ἐκείνην τὴν τοῦ ἑνὸς μετὰ τέχνης ἄρχοντος πολιτείαν εἰς δύναμιν μιμήσεσθαι, [9] μηδέποτε, κειμένων αὐτοῖς τῶν νόμων, μηδὲν ποιεῖν παρὰ τὰ γεγραμμένα καὶ πάτρια ἔθη. ΣΩ. Κάλλιστα εἴρηκας. ΞΕ. Ὅταν ἄρα οἱ πλεῖστοι ταύτην μιμῶνται, τότε ἀριστοκρατίαν καλοῦμεν τὴν

4. Ald. ποιήσειν.
5. Ald. Baſ. 1. 2 αὐτοῦ.
6. Steph. Francof. ἐπιχειροῖμεν· pro quo repoſuimus ex Ald. Baſ. 1. 2 ἐπιχειροῖεν, ſerie orationis iubente. Etiam Ficinus, *anniterentur*.
7. Ald. μίμημα.
8. Baſ. 2. ὡμολογημένον.
9. Baſ. 2 μιμήσασθαι.

τοιαύτην πολιτείαν· ὁπόταν δὲ τῶν νόμων[10] μὴ Φροντίζωσιν, ὀλιγαρχίαν. ΣΩ. Κινδυνεύει. ΞΕ. Καὶ μὲν [11] ὁπόταν αὖθις εἷς ἀρχὴ κατὰ νόμους, μιμέμενος τὸν ἐπιστήμονα, βασιλέα [12] καλῶμεν, ἃ διορίζοντες ὀνόματι τὸν μετ' ἐπιστήμης ἢ δόξης κατὰ νόμους μοναρχοῦντα. ΣΩ. Κινδυνεύομεν. ΞΕ. Οὐκοῦν κἂν τις ἄρα ἐπιστήμων ὄντως ὢν εἷς ἀρχῇ, πάντως τόγε ὄνομα ταυτὸν βασιλεὺς, καὶ οὐδὲν ἕτερον, προσρηθήσεται· δι' ἃ [13] δὴ τὰ πέντε ὀνόματα τῶν νῦν λεγομένων πολιτειῶν, ἓν μόνον γέγονεν. ΣΩ. Ἔοικε γοῦν. ΞΕ. Τί δ'; ὅταν μήτε κατὰ νόμους μήτε κατὰ ἔθη πράττῃ τὶς εἷς ἄρχων, προσποιῆται δὲ, ὥσπερ ὁ ἐπιστήμων, ὡς ἄρα παρὰ τὰ γεγραμμένα τόδε βέλτιον ποιητέον, ἢ δέ τις ἐπιθυμία καὶ ἄγνοια τότε τοῦ μιμήματος ἡγεμένη· μῶν οὐ τότε τὸν τοιοῦτον [14] ἕκαστον τύραννον κλητέον; ΣΩ. Τί μήν; ΞΕ. Οὕτω δὴ τύραννός τε γέγονε, Φαμὲν, καὶ βασιλεύς· καὶ ὀλιγαρχία, καὶ ἀριστοκρατία, καὶ δημοκρατία δυσχερανάντων τῶν ἀνθρώπων τὸν ἕνα ἕκαστον [1] μόναρχον, καὶ ἀπιστησάντων, μηδένα τῆς τοιαύτης ἀρχῆς ἄξιον ἂν γενέσθαι ποτὲ, ὥστε ἐθέλειν καὶ δυνατὸν εἶναι, μετὰ ἀρετῆς καὶ ἐπιστήμης ἄρχοντα, τὰ δίκαια καὶ ὅσια διανέμειν ὀρθῶς πᾶσι, λωβᾶσθαι δὲ καὶ ἀποκτιννύναι [2] καὶ κακῶν ὃν ἂν βε-

10. Baſ. 2 νόμον.

11. Leg. μήν.

12. Ald. Baſ. 1 βασιλέα.

13. Stephanus, *Poſt δι' ἃ δή*, inquit, *interpungo*. recte. Sed neminem reperiri puto, qui non ſponte videat, verba haec a reliquis ſeiungenda eſſe, etiam nulla interpunctionis nota adiecta.

14. Stephano magis placebat τῶν τοιούτων, ſine cauſſa idonea.

1. Baſ. 2 ἑκᾶνον· vnde extitit obſeruatio in marg. Steph. haec, *Pro ἕκατον legitur etiam ἐκᾶνον quod malo.* recte. Ficinus quoque habet, *quum aegre ferrent homines vnius imperium.*

2. Baſ. 2 ἀποκτονύσθαι· male.

βεληθῇ ἑκάστοτε ἡμῶν. ἐπεὶ γενόμενόν γ' ἂν οἷον λέγομεν, ἀγαπᾶσθαί τε ἂν, καὶ οἰκεῖν διακυβερνῶντα εὐδαιμόνως ὀρθὴν ἀκριβῶς μόνον πολιτείαν. ΣΩ. Πῶς δ' ὅ, ΞΕ. Νῦν δέ γε ὅτε ἐκ ἔστι γιγνόμενος, ὡς δὴ φαμὲν, ἐν ταῖς πόλεσι βασιλεὺς, οἷος ἐν σμήνεσιν ἐμφύεται τό, τε σῶμα εὐθὺς καὶ τὴν ψυχὴν διαφέρων εἷς, δεῖ δὴ συνελθόντας ξυγγράμματα γράφειν, ὡς ἔοικε, μεταθέοντας τὰ τῆς ἀληθεστάτης πολιτείας ἴχνη. ΣΩ. Κινδυνεύει. ΞΕ. Θαυμάζομεν δῆτα, ὦ Σώκρατες, ἐν ταῖς τοιαύταις πολιτείαις ὅσα ξυμβαίνει γίγνεσθαι κακὰ, καὶ ὅσα ξυμβήσεται, τοιαύτης τῆς κρηπῖδος ὑποκειμένης αὐταῖς, τῆς κατὰ γράμματα καὶ ἔθη, μὴ μετὰ ἐπιστήμης, πραττούσης τὰς πράξεις; ἑτέρα προσχρωμένη, παντὶ καταδηλος ὡς πάντ' ἂν διολέσειε τὰ ταύτῃ γιγνόμενα. ἢ ἐκεῖνο ἡμῖν θαυμαστέον μᾶλλον, ὡς ἰσχυρόν τι πόλις ἐστὶ φύσει; πάσχουσα γὰρ δὴ τοιαῦτα αἱ πόλεις νῦν χρόνον ἀπέραντον, ὅμως ἔνιαί τινες αὐτῶν μόνιμοί τε εἰσὶ καὶ ἐκ ἀνατρέπονται· πολλὰ μὲν ἐνίοτε, καθάπερ πλοῖα καταδυόμενα, διόλλυνται, καὶ διολώλασι, καὶ ἔτι διολοῦνται, [4] διὰ τὴν τῶν κυβερνητῶν καὶ ναυτῶν μοχθηρίαν, τῶν περὶ τὰ μέγιστα μεγίστην ἄγνοιαν εἰληφότων, οἳ περὶ τὰ πολιτικὰ κατ' ἐδὲν γινώσκοντες, [5] ἡγοῦνται κατὰ πάντα σαφέστατα πασῶν ἐπιστημῶν ταύτην εἰληφέναι. ΣΩ. Ἀληθέστατα. ΞΕ. Τίς ἔν41

male. Moeris: ἀποκτιννύναι, Ἀττικῶς· ἀποκτεῖναι, Ἑλληνικῶς. Thomas Magister: ἀποκτιννύναι βέλτιον, ἢ ἀποκτινύειν. Cf. ad Apol. 18.

3. Ficini Verſio Latina habet, *quo ſi alia quaedam gubernatio, vel civitas, vtatur.* Vnde Stephanus eum legiſſe ἢ ἑτέρα opinabatur, quod referretur ad κρηπῖδι. recte.

4. Ald. Baſ. 1. 2 διολλῦντα· vitioſe.

5. Francof. γιγνώσκοντες· recte.

δὴ τῶν ἐκ ὀρθῶν πολιτειῶν τότων, ἥκιστα χαλεπὴ[1] συζῆν, πασῶν χαλεπῶν ὐσῶν, καὶ τίς βαρυτάτη, δεῖ τι κατιδεῖν ἡμᾶς. καίπερ πρός γε τὸ νῦν προτεθὲν ἡμῖν, πάρεργον λεγόμενον, ἐ μὴν ἀλλ' εἰς γε τὸ ὅλον, ἴσως ἅπανθ' ἕνεκα τοῦ τοιότου πάντες δρῶμεν χάριν. ΣΩ. Δεῖ. πῶς δ' ἔ; ΞΕ. Τὴν αὐτὴν τοίνυν φασὶ, τριῶν ὐσῶν, χαλεπὴν διαφερόντως ἅμα καὶ ῥᾴστην γίγνεσθαι. ΣΩ. Πῶς φῄς; ΞΕ. Οὐκ ἄλλως, πλὴν μοναρχίαν φημὶ, καὶ ὀλίγων ἀρχὴν καὶ πολλῶν, εἶναι τρεῖς ταύτας ἡμῖν λεγομένας τοῦ νῦν ἐπικεχυμένου[2] λόγου κατ' ἀρχάς. ΣΩ. Ἦσαν γὰρ ἕν. ΞΕ. Ταύτας τοίνυν δίχα τέμνοντας μίαν ἑκάστην, ἓξ ποιῶμεν, τὴν ὀρθὴν χωρὶς ἀποκρίναντες τότων ἑβδόμην. ΣΩ. Πῶς ἕν; ΞΕ. Ἐκ μὲν τῆς μοναρχίας, βασιλικὴν καὶ τυραννικήν· ἐκ δ' αὖ τῶν μὴ πολλῶν, τήν τε εὐώνυμον ἔφαμεν ἀριστοκρατίαν καὶ ὀλιγαρχίαν. ἐκ δ' αὖ τῶν πολλῶν, τότε μὲν ἁπλῆν ἐπονομάζοντες ἐτίθεμεν δημοκρατίαν, νῦν δὲ αὖ καὶ ταύτην ἡμῖν θετέον ἐσι διπλῆν. ΣΩ. Πῶς δή; καὶ τίνι διαιρεῦντες[3] ταύτην; ΞΕ. Οὐδὲν διαφέροντι τῶν ἄλλων, ἐδ' εἰ τὄνομα ἤδη διπλῆν ἐσι ταύτης· ἀλλὰ τό γε κατὰ νόμους ἄρχειν καὶ παρανομεῖν, ἔσι καὶ ταύτῃ καὶ ταῖς ἄλλαις. ΣΩ. Ἔσι γὰρ ἕν. ΞΕ. Τότε μὲν τοίνυν τὴν ὀρθὴν ζητῶσι, τοῦτο τὸ τμῆμα[4] ἐκ ἦν[5] χρήσιμον, ὡς ἐν τοῖς πρόσθεν ἀπεδείξαμεν· ἐπειδὴ δὲ ἐξείλομεν ἐκείνην, τὰς δ' ἄλλας ἔθεμεν ἀναγκαίας, ἐν ταύταις δὴ τὸ παράνομον καὶ ἔννομον ἑκάστην διχοτομεῖ τότων. ΣΩ. Ἔοικε τότε[6] νῦν ῥηθέντος τοῦ λόγου. ΞΕ. Μοναρχίαν τοί-

1. Ald. χαλετή.
2. Baf. 1. 2 ἐπικεκυμένου.
3. Ald. διαρεῦντες.
4. Baf. 2 κτῆμα· male.

Etiam in Verſione Ficini Latina eſt, *partitio*.

5. Ald. Baf. 1 ἐ ἦν.
6. Stephano deeſſe videbatur Praepoſitio ἐκ ante hunc

τοίνυν ζευχθεῖσα μὲν ἐν γράμμασιν ἀγαθοῖς, ἃς νόμους λέγομεν, ἀρίστη πασῶν τῶν ἔξ· ἄνομος δὲ, χαλεπὴ καὶ βαρυτάτη ξυνοικῆσαι. ΣΩ. Κινδυνεύει. ΞΕ. Τὴν δέ γε τῶν μὴ πολλῶν, ὥσπερ ἑνὸς καὶ πλήθους τὸ ὀλίγον μέσον, ἔτως ἡγησώμεθα μέσην ἐπ' ἀμφότερα. τὴν δ' αὖ τ[8] πλήθους, κατὰ πάντα ἀσθενῆ, καὶ μηδὲν μήτε ἀγαθὸν μήτε κακὸν μέγα δυναμένην, ὡς πρὸς τὰς ἄλλας· διὰ τὸ τὰς ἀρχὰς ἐν ταύτῃ διανενεμῆσθαι κατὰ σμικρὰ εἰς πολλές. διὸ γέγονε πασῶν μὲν νομίμων τῶν πολιτειῶν ἀσῶν τάτων χειρίστη, παρανόμων δ' ἀσῶν ξυμπασῶν, βελτίστη. καὶ ἀκολάστων μὲν πασῶν ἀσῶν, ἐν δημοκρατίᾳ νικᾷ[8] ζῆν· κοσμίων δ' ἀσῶν, ἥκιστα ἐν ταύτῃ βιωτέον. ἐν τῇ πρώτῃ δὲ, πολὺ πρῶτόν τε καὶ ἄριστον· πλὴν τῆς ἑβδόμης. πασῶν γὰρ ἐκείνην γε ἐκριτέον, οἷον θεὸν ἐξ ἀνθρώπων, ἐκ τῶν ἄλλων πολιτειῶν. ΣΩ. Φαίνεται ταῦθ' ἕτω γίγνεσθαί τε καὶ ξυμβαίνειν· καὶ ποιητέον ἥπερ λέγεις. ΞΕ. Οὐκοῦν δὴ καὶ τὰς κοινωνὰς τάτων τῶν πολιτειῶν πασῶν, πλὴν τῆς ἐπιστήμονος, ἀφαιρετέον, ὡς οὐκ ὄντας πολιτικὰς, ἀλλὰ σασιασικάς. καὶ εἰδώλων μεγίστων προσάτας ὄντας, καὶ αὐτὰς εἶναι[9] τοιάτας· μεγίστας δὲ ὄντας μιμητὰς καὶ γόητας, μεγίστας

hunc Genitiuum: posse etiam legi putabat ἐκ τῆ νῦν ῥηθέντος λόγυ. Scilicet Ficini Versione Latina adductus videtur, vt ita censeret, in qua est, *Ex eo, qui nunc est dictus, sermone ita videtur.* At lectio altera est haud dubie integra. Certe ἐκ τάτυ νῦν ῥηθέντος dici, per leges linguae, non potest.

7. Ald. Bas. 1. 2 ἀντῆ· male.

8. Ald. Bas. 1. 2 νικᾶν· male. Ficinus, *praestet vivere.*

9. Stephanus putabat, Infinitiuos εἶναι et γίγνεσθαι pendere ab aliquo verbo omisso. recte. Intellegi potest ὥστε quae particula sic non raro omitti solet,

γίστους γίγνεσθαι τῶν σοφιστῶν σοφιστάς. ΣΩ. Κινδυνεύει τοῦτο εἰς τοὺς πολιτικοὺς λεγομένους περιεστράφθαι[10] τὸ ῥῆμα ὀρθότατα. ΞΕ. Εἶεν. τοῦτο μὲν ἀτεχνῶς ἡμῖν, ὥσπερ δρᾶμα· καθάπερ ἐῤῥέθη νῦν δὴ, κενταυρικὸν ὁρᾶσθαι καὶ σατυρικόν τινα θίασον, ὃν δὴ χωριστέον ἀπὸ πολιτικῆς εἴη τέχνης· νῦν δ' οὕτω πάνυ μόγις ἐχωρίσθη. ΣΩ. Φαίνεται. ΞΕ. Τούτου δ' ἕτερον ἔτι χαλεπώτερον λείπεται τῷ ξυγγενές τε ὁμοῦ τ' εἶναι μᾶλλον τῷ βασιλικῷ γένει καὶ δυσκαταμαθητότερον. καί μοι φαινόμεθα τοῖς τὸν χρυσὸν καθαίρουσι πάθος ὅμοιον πεπονθέναι. ΣΩ. Πῶς; ΞΕ. Γῆν που καὶ λίθους καὶ πόλλ' ἄττα ἕτερα ἀποκρίνουσι κἀκεῖνοι πρῶτον οἱ δημιουργοί·[11] μετὰ δὲ τοῦτο λείπεται ξυμμεμιγμένα τὰ ξυγγενῆ τοῦ χρυσοῦ, τίμια, καὶ πυρὶ μόνον ἀφαιρετὰ, χαλκὸς καὶ ἄργυρος· ἔστι δ' ὅτε[12] καὶ ἀδάμας. μετὰ[13] βασάνων ταῖς ἑψήσεσι μόγις ἀφαιρεθέντα,[14] τὸν λεγόμενον ἀκήρατον χρυσὸν εἴασεν ἡμᾶς ἰδεῖν αὐτὸν μόνον ἐφ' ἑαυτοῦ. ΣΩ. Λέγεται γὰρ οὖν ταῦτα οὕτω
42 γίγνεσθαι. ΞΕ. Κατὰ τὸν αὐτὸν τοίνυν λόγον ἔοικε καὶ νῦν ἡμῖν τὰ μὲν ἕτερα καὶ ὁπόσα ἀλλότρια, καὶ τὰ μὴ φίλα, πολιτικῆς ἐπιστήμης ἀποκεχωρίσθαι, λείπεσθαι δὲ τὰ τίμια καὶ ξυγγενῆ. τούτων δ' ἐστί

που

10. Ald. Bas. 1 περιεστρέφθαι· mendose.

11. Ald. δημιουγοῖ. Bas. 1. 2 δημιουργοῖ.

12. Ald. δότε.

13. Stephanus ante μετὰ deesse putabat Pronomen ἅ· quod certe Ficinus expressit in Latina Versione, in qua est, *quae vix tandem facto ad ignem examine explorantur.* Caeterum in Ald. idem Stephanus animadvertit verba ἔστι δ' ὅτε ἀδάμας et Partic. ἀφαιρεθέντα, perperam iungi cum sequentibus. recte. At iam in Bas. 1. 2 ita separata sunt et interpuncta verba, vt in exemplo Stephaniano.

14. Ald. Bas. 1 ἀφαιρεθέντα.

πᾶ στρατηγία καὶ δικαστικὴ, ὅση [1] βασιλικῇ κοινωνοῦσα ῥητορείᾳ, [2] καὶ πείθουσα τὸ δίκαιον, ξυνδιακυβερνᾷ τὰς ἐν ταῖς πόλεσι πράξεις. ἃ δή τινι τρόπῳ ἔχουσα τις ἀπομερίζων, δείξει γυμνὸν καὶ μόνον ἐκεῖνον καθ' αὑτὸν [3] τὸν ζητούμενον ὑφ' ἡμῶν. ΣΩ. Δῆλον ὅτι τοῦτό πη δρᾶν πειρατέον. ΞΕ. Πείρας μὲν τοίνυν ἕνεκα φανερὸς ἔσῃ· διὰ δὲ μουσικῆς αὐτὸν ἐγχειρητέον δηλῶσαι. καί μοι λέγε. ΣΩ. Τὸ ποῖον; ΞΕ. Μουσικῆς ἔστι πᾶ τις ἡμῖν μάθησις, καὶ ὅλως τῶν περὶ χειροτεχνίας ἐπισημῶν; ΣΩ. Ἔστι. ΞΕ. Τί δέ; τὸ δ' αὖ, τούτων ἡντινῶν εἴτε δεῖ μανθάνειν ἡμᾶς εἴτε μή, πότερα φήσομεν ἐπιστήμην αὖ καὶ ταύτην εἶναί τινα περὶ αὐτὰ ταῦτα; ἢ πῶς; ΣΩ. Οὕτως εἶναι φήσομεν. ΞΕ. Οὐκοῦν ἑτέραν ὁμολογήσομεν ἐκείνων εἶναι ταύτην; ΣΩ. Ναί. ΞΕ. Πότερα δ' αὐτῶν ἀδεμίαν ἄρχειν δεῖν ἄλλην ἄλλης; ἢ ἐκείνας ταύτης; ἢ ταύτην δεῖν ἐπιτροπεύουσαν ἄρχειν ξυμπασῶν τῶν ἄλλων; ΣΩ. Ταύτην ἐκείνων, τὴν, εἰ δεῖ μανθάνειν ἢ μή. ΞΕ. Τῆς μανθανομένης καὶ διδασκούσης ἄρα σύ γ' ἀποφαίνῃ δεῖν ἡμῖν ἄρχειν. ΣΩ. Σφόδρα γε. ΞΕ. Καὶ τὴν, εἰ δεῖ πείθειν ἄρα, ἢ μή, τῆς δυναμένης πείθειν. ΣΩ Πῶς δ' οὔ; ΞΕ. Εἶεν. τίνι τὸ πειστικὸν ἔν ἀποδώσομεν ἐπιστήμῃ πλήθους τε καὶ ὄχλου, διὰ μυθολογίας, ἀλλὰ μὴ διὰ διδαχῆς; ΣΩ. Φανερὸν οἶμαι καὶ τοῦτο ῥητορικῇ δοτέον ὄν. ΞΕ. Τὸ δ', εἴτε διὰ πειθοῦς, εἴτε διά τινος βίας δεῖ πράττειν πρός τινας ὁτιοῦν, ἢ καὶ τοπαράπαν ἔχειν, τοῦτ' αὖ ποίᾳ προσθήσομεν ἐπιστήμῃ; ΣΩ. Τῇ τῆς πειστικῆς ἀρχούσῃ καὶ λε-

1. Stephano legendum videbatur καὶ ὅση non male. At nec in Ficini Versione expressa est particula καί.

2. In Francof. male editum est, operarum incuria, ῥητορέᾳ.

3. Ald. αὐτόν male.

λεκτικῆς. ΞΕ. Εἴη δὲ ἂν ἄλλη τις, ὡς οἶμαι, πλὴν ἡ τῆ πολιτικῆ δύναμις. ΣΩ. Κάλλιστ' εἴρηκας. καὶ τοῦτο μὲν ἔοικε ταχὺ κεχωρίσθαι πολιτικῆς τὸ ῥητορικὸν, ὡς ἕτερον εἶδος ὄν, ὑπηρετοῦν μὴν
43 ταύτῃ. ΣΩ. Ναί. ΞΕ. Τί δὲ περὶ τῆς τοιαῖσδ' αὖ δυνάμεως διανοητέον; ΣΩ. Ποίας; ΞΕ. Τῆς, ὡς πολεμητέον ἑκάστοις οἷς ἂν προελώμεθα πολεμεῖν· εἴτε αὐτὴν ἄτεχνον, εἴτε ἔντεχνον, ἐροῦμεν; ΣΩ. Καὶ πῶς ἂν ἄτεχνον διανοηθεῖμεν, ἥν γε ἡ στρατηγικὴ καὶ πᾶσα ἡ πολεμικὴ πρᾶξις πράττει; ΞΕ. Τὴν δ' εἴτε πολεμητέον, εἴτε διὰ φιλίας ἀπαλλακτέον, οἷόντε καὶ ἐπισήμονα διαβεβλεύσασθαι, ταύτης ἑτέραν ὑπολάβωμεν, ἢ τὴν αὐτὴν ταύτῃ; ΣΩ. Τοῖς πρόσθεν ἀναγκαῖον ἑπομένοισιν,[1] ἑτέραν. ΞΕ. Οὐκοῦν ἄρχουσαν ταύτην αὐτῆς ἀποφανέμεθα, εἴπερ τοῖς ἔμπροσθέν γε ὑπολήψόμεθα ὁμοίως. ΣΩ. Φημί. ΞΕ. Τὶν' ἄν ποτε καὶ ἐπιχειρήσομεν ὕστω δεινῆς καὶ μεγάλης τέχνης ξυμπάσης τῆς πολεμικῆς δεσπότιν ἀποφαίνεσθαι, πλήν γε δὴ τὴν ὄντως οὖσαν βασιλικήν; ΣΩ. Οὐδεμίαν ἄλλην. ΞΕ. Οὐκ ἄρα πολιτικὴν θήσομεν, ὑπηρετικήν γε οὖσαν, τὴν τῶν στρατηγῶν ἐπιστήμην. ΣΩ Οὐκ εἰκός. ΞΕ. Ἴθι δή,[2] καὶ τὴν τῶν δικασῶν τῶν ὀρθῶς δικαζόντων θεασώμεθα δύναμιν. ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Ἆρ' οὖν ἐπιπλέον τι δύναται τῆ περὶ τὰ ξυμβόλαια, πάνθ' ὁπόσα[3] κεῖται νόμιμα παρὰ νομοθέτου βασιλέως παραλαβοῦσα, κρίνειν, εἰς ἐκεῖνα σκοποῦσα, τὰ

1. Suspecta erat Stephano haec scriptura, pro ἑπομένοις. sine caussa. Etiam supra legebatur τοιούτοισιν in omnibus libris, vt animaduertit ipse.

2. Hunc locum, inde a verbis ἴθι δὴ vsque ad verba ἐπὶ τῆς δυνάμεως ἔργον, excerpsit Stobaeus Eclogg. Ethh. c. 44 p. 320, omissis tamen personarum inter se colloquentium nominibus.

3. Stob. ὅσα.

τά τε δίκαια ταχθέντα [4] εἶναι καὶ ἄδικα; τὴν αὐτῆς ἰδίαν ἀρετὴν παρεχομένη, τῷ μήθ' ὑπό τινων δώρων, μήθ' ὑπὸ φόβων, μήτε [5] οἴκτων, μήθ' ὑπό τινος ἄλλης ἔχθρας, μήτε [7] φιλίας ἡττηθεῖσα, παρὰ τὴν τῶ νομοθέτα τάξιν ἐθέλειν ἂν τὰ ἀλλήλων ἐγκλήματα διαιρεῖν; ΣΩ. Οὔκ· ἀλλὰ [8] σχεδὸν ὅσον εἴρηκας, ταύτης ἐστὶ τῆς δυνάμεως ἔργον. ΞΕ. Καὶ τὴν τῶν δικασῶν ἄρα ἐώμην ἀνευρίσκομεν ἐ βασιλικὴν ἔσαν, ἀλλὰ νόμων φύλακα, καὶ ὑπηρέτιν ἐκείνης. ΣΩ. Ἔοικέ γε. ΞΕ. Τόδε [9] δὴ κατανοητέον, ἰδόντι ξυμπάσας τὰς εἰρημένας ἐπισήμας, ὅτι πολιτική τις αὐτῶν ἐδεμία ἐφάνη. τὴν γὰρ ὄντως ἔσαν βασιλικὴν, ἐκ αὐτὴν δεῖ πράττειν, ἀλλὰ ἄρχειν τῶν δυναμένων πράττειν, γινώσκουσαν τὴν ἀρχήν τε καὶ ὁρμὴν τῶν μεγίστων ἐν ταῖς πόλεσιν, εὐκαιρίας [10] τε πέρι καὶ ἀκαιρίας· τὰς δ' ἄλλας

4. Stob. ταχθέντ'· bene.

5. Ald. Baſ. 1. 2, Stob. αὐτῆς.

6. Stob. μήτ'

7. Ita reſcripſimus e Stobaeo pro μηδὲ, quod eſt in Ald. Baſ. 1. 2, Steph. nam praecedit μήτε, non μηδέ.

8. Ald. Σω. Οὐκ. Ξέ. Ἀλλὰ —: ſed poſt ἔργον omittit nomen Ξέ· male.

9. Etiam hic locus, inde a verbis Τόγε δὴ vſque ad verba τὰ προσταχθέντα ὀρᾶν ὀρθῶς, eſt ap. Stobaeum Eclogg. Ethh. c. 46 p. 327: ſed pro τόγε, quod eſt in Ald. Baſ. 1. 2, Steph. habet rectiſſime τόδε. Recepimus igitur.

10. Sic legitur in Ald. Baſ. 1. 2. Sed in libris Stobaei ſcriptum extat εὐκαιρίας. Iam etſi a Polluce 6, 204 in numero verborum opportunitatem declarantium, poſitum ſcimus εὐκαιρία, adiectis verbis ὡς Πλάτων, vt ſcribi hoc loco debere videatur εὐκαιρίας· tamen arbitramur, illo quoque Grammatici loco reponendum eſſe ἐγκαιρία. nam primo in Codice Iungermani ſcriptum erat ἐνκαιρία· deinde Grammaticus eo, quod verba ὡς Πλάτων addidit, attuliſſe putandus eſt formam vocabuli rariorem, qualis eſt ἐγκαιρία, non ἐνκαιρία.

λας τὰ προσταχθέντα δρᾷν. ΣΩ. Ὀρθῶς. ΞΕ. Διὰ ταῦτα ἄρα, ἃς μὲν ἄρτι διεληλύθαμεν, ἔστε ἀλλήλων ἔθ' αὑτῶν[11] ἄρχεσαι, περὶ δέ τινα ἰδίαν αὐτῆς ἕσα ἑκάστη πρᾶξιν, κατὰ τὴν ἰδιότητα τῶν πράξεων τέχνημα δικαίως εἴληφεν ἴδιον. ΣΩ. Εἴξασι[12] γᾶν. ΞΕ. Τὴν δὲ ἁπασῶν τε τούτων ἄρχουσαν, καὶ τῶν νόμων καὶ συμπάντων τῶν κατὰ πόλιν ἐπιμελουμένην, καὶ πάντα ξυνυφαίνουσαν[13] ἀρθότητα[14] τῷ κοινῷ τῇ κλήσει περιλαβόντες τὴν δύναμιν αὐτῆς, προσαγορεύοιμεν δικαιότατ' ἂν, ὡς ἔοικε, πο-
44λιτικήν. ΣΩ Πάνυ μὲν οὖν. ΞΕ. Οὐκοῦν δὴ καὶ κατὰ τὸ τῆς ὑφαντικῆς παράδειγμα βουλοίμεθ' ἂν ἐπεξελθεῖν αὐτὴν νῦν, ὅτε καὶ πάντα τὰ γένη τὰ κατὰ πόλιν δῆλα ἡμῖν γέγονε; ΣΩ. Καὶ σφόδρα γε. ΞΕ. Τὴν δὴ βασιλικὴν συμπλοκήν, ὡς ἔοικε, λεκτέον ποία τ' ἐστὶ, καὶ τίνι τρόπῳ συμπλέκουσα, ποῖον ἡμῖν ὕφασμα ἀποδίδωσι. ΣΩ. Δῆλον. ΞΕ. Ἦ καλεπὸν ἐνδείξασθαι πρᾶγμα, ἀναγκαῖον ἄρα γέγονεν, ὡς φαίνεται. ΣΩ. Πάντως γε μὴν ἐητέον. ΞΕ. Τὸ γὰρ ἀρετῆς μέρος, ἀρετῆς εἶδει διάφορον εἶναι τινὰ τρόπον, τοῖς περὶ λόγους ἀμφισβητικοῖς καὶ μάλ' ἐυεπίθετον πρὸς τὰς τῶν πολλῶν δόξας. ΣΩ. Οὐκ ἔμαθον. ΞΕ. Ἀλλ' ὧδε πάλιν. ἀνδρίαν γὰρ οἶμαί σε ἡγεῖσθαι μέρος ἓν[1] ἀρετῆς ἡμῖν εἶναι. ΣΩ. Πάνυ γε. ΞΕ. Καὶ μὲν[2] σωφροσύνην γε, ἀνδρίας μὲν ἕτερον, ἓν δ' ἦν καὶ τοῦτο μόριον ἧς κἀκεῖνο. ΣΩ. Ναί. ΞΕ. Τούτων δὴ πέρι θαυμασόν τινα λόγον

11. Baſ. 2 αὐτῶν· male.

12. Baſ. 2 ἔξωσι· vitioſe.

13. Francof. ξυμφαίνουσαν· mendoſe.

14. Baſ. 1. 2 inciſi notam ponunt poſt ὀρθότητα, vt τῷ κοινῷ cohaereat cum κλήσει, vt vertit Ficinus, *communi appellatione:* ſed Ald. interpungit poſt περιλαβόντες.

1. Ald. ἐν.

2. Leg. μὴν haud dubie.

λόγον ἀποφαίνεσθαι τολμητέον. ΣΩ. Ποῖον; ΞΕ. Ὡς ἐσὸν κατὰ δή τινα τρόπον εὖ μάλα πρὸς ἀλλήλας ἔχθραν [3] καὶ σάσιν ἐναντίαν ἔχοντε ἐν πολλοῖς τῶν ὄντων. ΣΩ. Πῶς λέγεις; ΞΕ. Οὐκ εἰωθότα λόγον ἐδαμῶς. πάντα γὰρ ἦν δὴ ἀλλήλοις τά γε τῆς ἀρετῆς μόρια λέγεταί πᾳ φίλια. ΣΩ. Ναί. ΞΕ. Σκοπῶμεν δή, προσχόντες τὸν νῶν εὖ μάλα, πότερον ἔτως ἁπλᾶν ἐστι τᾶτο, ἢ παντὸς μᾶλλον αὐτῶν ἔχον διαφορὰν τοῖς ξυγγενέσιν ἐσί. ΣΩ. Ναί, λέγοις ἂν πῆ σκεπτέον. ΞΕ. Ἐν τοῖς ξύμπασι χρὴ ζητεῖν ὅσα καλὰ μὲν λέγομεν, εἰς δύο δ' αὐτὰ τίθεμεν ἐναντία ἀλλήλων εἴδη. ΣΩ. Λέγε τί [4] σαφέστερον. ΞΕ. Ὀξύτητα καὶ τάχος, εἴτε κατὰ σώματα, εἴτε ἐν ψυχαῖς, εἴτε κατὰ φωνῆς φορὰν, εἴτε αὐτῶν τάτων, εἴτ' ἐν εἰδώλοις ὄντων, ὁπόσα μιμικὴ μιμεμένη καὶ ἔτι [5] γραφικὴ μιμήματα παρέχεται· τάτων τινὸς ἐπαινέτης εἴτε αὐτὸς πώποτε γέγονας, εἴτε ἄλλε παρὼν ἐπαινέντος ἤσθησαι; [6] ΣΩ. Τί μήν; ΞΕ. [7]Ἢ καὶ μνήμην ἔχεις ὁντινα τρόπον αὐτῶ[7] δρῶσιν ἐν ἑκάστοις τάτων; ΣΩ. Οὐδαμῶς. ΞΕ. [8]Ἆρ' ἂν δυνατὸς αὐτὸ ἂν γενοίμην, ὥσπερ καὶ διανοῦμαι, διὰ λόγων [8] ἐνδείξασθαί σοι; ΣΩ. Τί δ' ἔν; [9] ΞΕ. Ῥᾴδιον ἔοικας ἡγεῖσθαι τὸ τοιᾶτον· σκοπώμεθα δ' ἓν αὐτὸ ἐν τοῖς ὑπεναντίοις γένεσι. τῶν γὰρ δὴ πράξεων ἐν πολλαῖς καὶ πολλάκις ἑκάστοτε τάχος καὶ σφοδρότητα καὶ ὀξύτητα διανοήσεώς τε καὶ σώματος,

3. Ald. ἔθραν· operarum errore.

4. Stephanus coni. λέγε ἔτι σαφέστερον, vel potius λέγ' ἔτι σαφέστερον. recte. Ficinus, *dic* apertius. Nisi quidem malis, λέγε δὴ σαφ.

5. Ald. Bas. 1. 2 ἅτι· male.

6. Ald. ἤθηται. Bas. 1. 2 ἤθησαι· male.

7. Bas. 1. 2 ἀυτό· male. Ficinus, *illa*.

8. Ald. Bas. 1. 2 λόγον. At Ficinus, *verbis*.

9. Ficinus vertit, *Quid prohibet?* Legisse enim videtur, τί δ' οὔ;

τος, ἔτι δὲ καὶ φωνῆς, ὅταν ἀγασθῶμεν,[10] λέγομεν αὐτὸ ἐπαινοῦντες, μιᾷ χρώμενοι προσρήσει τῇ τῆς ἀνδρίας. ΣΩ. Πῶς; ΞΕ. Ὀξὺ καὶ ἀνδρεῖον πρῶτόν πε φαμὲν, καὶ ταχὺ καὶ ἀνδρικὸν, καὶ σφοδρὸν ὡσαύτως· καὶ πάντως ἐπιφέροντες τὄνομα ὃ λέγω κοινὸν πάσαις ταῖς φύσεσι ταύταις, ἐπαινοῦμεν αὐτάς. ΣΩ. Ναί. ΞΕ. Τί δέ; τὸ τῆς ἠρεμαίας αὖ γενέσεως εἶδος ἆρ' ὃ πολλάκις ἐπῃνέσαμεν[11] ἐν πολλαῖς τῶν πράξεων; ΣΩ. Καὶ σφόδρα γε. ΞΕ. Μῶν ἓν τἀναντία λέγοντες ἢ περὶ ἐκείνων, τοῦτο ὀνομάζομεν; ΣΩ. Πῶς; ΞΕ. Ὡς ἡσυχαῖόν πε φαμεν, ἑκάστοτε καὶ σωφρονικὰ, περί τε διάνοιαν πράττομεν ἀγασθέντες, καὶ κατὰ τὰς πράξεις αὖ βραδέα καὶ μαλακὰ, καὶ ἔτι περὶ φωνὰς γιγνόμενα λεῖα καὶ βαρέα, καὶ πᾶσαν ῥυθμικὴν κίνησιν, καὶ ὅλην μᾶσαν ἐν καιρῷ βραδυτῆτι προσχρωμένην· ἃ[12] τὸ τῆς ἀνδρίας, ἀλλὰ τὸ τῆς κοσμιότητος, ὄνομα ἐπιφέρομεν αὐτοῖς ξύμπασιν. ΣΩ. Ἀληθέστατα. ΞΕ. Καὶ μὲν[13] ὁπόταν αὖ γε ἀμφότερα γίγνηται ταῦτα ἡμῖν ἄκαιρα,[14] μεταβάλλοντες ἑκάτερα αὐτῶν ψέγομεν, ἐπὶ τἀναντία πάλιν ἀποσέμνοντες τοῖς ὀνόμασι. ΣΩ. Πῶς; ΞΕ. Ὀξύτερα μὲν αὐτὰ γιγνόμενα τῷ καιρῷ καὶ θάττω, καὶ σκληρότερα φαινόμενα, ὑβριστικὰ καὶ μανικὰ λέγοντες· τὰ δὲ βαρύτερα καὶ βρα-

10. Ald. Baſ. 1 ἀγαθῶμεν· vitioſe. Timaeus Gloſſ. Ἄγαμαι· ἀποδέχομαι, θαυμάζω ἄγαν.

11. Ald. Baſ. 1. 2 ἐπηνέγκαμεν· ſed Stephanus recte repoſuit ἐπῃνέσαμεν, praeeunte Verſione Ficini Latina, in qua eſt, *laudamus*.

12. Stephanus deeſſe putabat καὶ ante ἃ. recte. nam Ficinus vertit, *biſque moderationis nomen, non fortitudinis, adhibemus*.

13. Leg. μήν. Ficinus, *At*.

14. Ald. Baſ. 1. 2 ἀκέραια. At Ficinus, *At quoties* opportunitatem *iſta* non ſeruant.

βραδύτερα, καὶ μαλακώτερα, δεινὰ καὶ βλακικά.[15] καὶ σχεδὸν ὡστοπολὺ ταῦτά τε καὶ τὴν σώφρονα φύσιν, καὶ τὴν ἀνδρίαν τὴν τῶν ἐναντίων, εἶδον πολεμίας διαλαχέσας σάσιν ἰδέας, ἔτ' ἀλλήλαις μιγνυμένας ἐφευρίσκομεν ἐν ταῖς περὶ τὰ τοιαῦτα πράξεσιν, ἔτι τε τὰς ἐν ταῖς ψυχαῖς αὐτὰς ἴσχοντας, διαφερομένας ἀλλήλοις ὀψόμεθα, ἐὰν μεταδιώκωμεν. ΣΩ. Πῇ δὴ λέγεις; ΞΕ. Ἐν πᾶσί τε δὴ τούτοις, εἷς νῦν εἴπομεν, ὡς εἰκός γε, καὶ ἐν ἑτέροις πολλοῖς. κατὰ γὰρ, εἶμαι, τὴν αὐτῶν ἑκατέροις ξυγγένειαν, τὰ μὲν ἐπαινοῦντες, ὡς οἰκεῖα σφέτερα, τὰ δὲ τῶν διαφόρων ψέγοντες, ὡς ἀλλότρια, πολλὴν εἰς ἔχθραν ἀλλήλοις καὶ πολλῶν πέρι καθίσανται. ΣΩ. Κινδυνεύεσι. ΞΕ. Παιδιὰ[2] τοίνυν αὕτη γέ τις ἡ διαφορὰ τούτων ἐστὶ τῶν εἰδῶν· περὶ δὲ τὰ μέγιστα νόσος ξυμβαίνει πασῶν ἐχθίστη γίγνεσθαι ταῖς πόλεσι. ΣΩ. Περὶ δὴ ποῖα φῄς; ΞΕ. Περὶ ὅλην, ὡς γε εἰκὸς, τὴν τῆ ζῆν παρασκευήν. εἰ μὲν γὰρ δὴ διαφερόντως ὄντες κόσμιοι, τὸν ἡσύχιον ἀεὶ βίον ἕτοιμοι ζῆν, αὐτοὶ καθ' αὐ-

N 2 τὰς

15. Schol. Auguſtanus: βλακικά· μωρὰ, ἀνόητα· ἀπ' ἰχθύος καλουμένου βλακὸς, ὁμοίως σιλύρου, ἀχρήστου τοσοῦτον, ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. Eadem traduntur ab auctore Etymologici M. in v. βλαξ e Lexico quodam rhetorico. nam, ὡς δὲ τὸ Λεξικὸν τὸ ῥητορικὸν, inquit, εὗρον ἐγὼ εἰρῆσθαι τὴν λέξιν, ἀπὸ ἰχθύος τινὸς, ὁμοίως σιλύρῳ, ἀχρήστου ὄντος, ὡς μηδὲ κύνα αὐτῷ χρήσασθαι.

1. Stephanus coni. οἰκεῖα καὶ σφέτερα. Ficinus enim vertit, *proprias ſuaſque.* recte. At ſolent Attici maxime non raro coniungere verba duo, idem declarantia, ſimpliciter, nulla copula interueniente, quod genus ἐξ ἀρχῆς πάλιν, τάχα ἴσως, et alia. Fieri tamen poteſt, vt alterutrum ſit gloſſema.

2. Ald. Baſ. 1 παιδείᾳ· male: ſed aeque male ſ. 46 ſcriptum eſt in Baſ. 2 παιδιὰ, pro παιδείᾳ. Vid. ad Phaedon. 13. Recte vertit Ficinus, *ludus.*

τὰς μόνοι [3] τὰ σφέτερα αὐτῶν πράττοντες, οἶκοι τε [4] αὖ πρὸς ἅπαντας ἔτως ὁμιλοῦντες, [5] καὶ πρὸς τὰς ἔξωθεν πόλεις ὡσαύτως ἕτοιμοι ὄντες τρόπον τινὰ ἄγειν εἰρήνην. καὶ διὰ τὸν ἔρωτα δὴ τοῦτον, ἀκαιρότερον ὄντα ἢ χρῆν, ὅταν ἃ βέλονται πράττωσιν, ἔλαθον αὐτοί τε ἀπολέμως ἰσχοντες, καὶ τὰς νέας ὡσαύτως διατιθέντες· ὄντες τε ἀεὶ τῶν ἐπιτιθεμένων. ἐξ ὧν ἐκ ἐν πολλοῖς ἔτεσιν αὐτοὶ καὶ παῖδες καὶ ξύμπασα ἡ πόλις αὖτ' ἐλευθέρων πολλάκις ἔλαθον αὐτὰς [6] γενόμενοι δοῦλοι. ΣΩ. Χαλεπὸν εἶπες καὶ δεινὸν πάθος. ΞΕ. Τί δ'; οἱ πρὸς τὴν ἀνδρίαν μᾶλλον ἐρέποντες, ἆρ' ἐκ ἐπὶ πόλεμον ἀεί τινα τὰς αὑτῶν [7] ξυντείνοντες πόλεις, διὰ τὴν τοιαύτην βίαν σφοδροτέραν τοῦ δέοντος ἐπιθυμίαν, εἰς ἔχθραν πολλοῖς καὶ δυνατοῖς καταστάντες, ἢ πάμπαν διώλεσαν ἢ δούλας αὖ καὶ ὑποχειρίους τοῖς ἐχθροῖς ὑπέθεσαν τὰς αὑτῶν [8] πατρίδας; ΣΩ. Ἔστι

3. Valquenarius in Diatriba ad fragmm. Eurip. deleri iubebat μόνοι, vt gloſſema ſcilicet. temere. nam Pronomen αὐτὸς ſolus ſaepe ab optimis ſcriptoribus coniunctum legitur cum vocabulo μόνος. vid. Abreſchius Auctar. Thucyd. p. 224: qui eam in rem laudat, praeter alios, Euripidem Phoenn. 1235 ſ. Ἐγὼ γὰρ αὐτὸς — Μόνος συνάψω συγγόνῳ τῷ ἐμῷ μάχην· vbi idem Valquenarius aeque perperam iubebat reponi μόνῳ, quod praecederet αὐτός. Neque vero felicior fuit Muretus in corrigendo loco Xenophontis Cyrop. 3, 3. 18 ὁ δὲ τὴν τούτων ὑπόμνησιν αὐτὸς μόνος ἔχων —. nam pro μόνος, quae eſt omnium librorum veterum, etiam Guelferbytani, lectio, legi volebat μόνως. Vid. notae eius in Cyropaedian, ad calcem Commentariorum in Ariſtotelis libros Ethicos ad Nicomachum, Ingolſtad. a. 1602. octonis.

4. Baſ. 2 οἴκοθε· mendoſe.

5. Baſ. 2 ὁμιλοῦντες· vitioſe.

6. Ald. Baſ. 1. 2 αὐτούς.

7. Ald. Baſ. 1. 2 αὐτῶν.

8. Ald. Baſ. 1. 2 αὐτῶν.

Εσι καὶ ταῦτα. ΞΕ. Πῶς ἔν μὴ φῶμεν ἐν τέτοις ἀμφότερα τὰ γένη [9] πολλὴν πρὸς ἄλληλα ἀεὶ καὶ τὴν μεγίσην ἴσχειν ἔχθραν καὶ σάσιν; ΣΩ. Οὐδαμῶς ὡς ἀ φήσομεν. ΞΕ. Οὐκᾶν ὅπερ ἐσκοπᾶμεν κατ' ἀρχὰς, ἀνευρήκαμεν, ὅτι μόρια ἀρετῆς ἀ σμικρὰ ἀλλήλοις διαφέρεσθον φύσει, καὶ δὴ καὶ τὰς ἴσχοντας δρᾶτον τὸ αὐτὸ τᾶτο. ΣΩ. Κινδυνεύετον. ΞΕ. Τέδε τοίνυν αὖ λάβωμεν. ΣΩ. Τὸ ποῖον; ΞΕ. 46 Εἴτις πᾳ τῶν συνθετικῶν ἐπισημῶν πρᾶγμα ὁτιᾶν τῶν αὐτῆς ἔργων, κᾆν ᾖ τὸ φαυλότατον, ἑκᾶσα ἐκ μοχθηρῶν καὶ χρησῶν τινῶν ξυνίσησιν· ἢ [1] πᾶσα ἐπισήμη πανταχᾶ τὰ μὲν μοχθηρὰ εἰς δύναμιν ἀποβάλλει, τὰ δ' ἐπιτήδεια καὶ τὰ χρησὰ ἔλαβεν. ἐκ τέτων δὲ, καὶ ὁμοίων καὶ ἀνομοίων ὄντων, πάντ' εἰς ἓν αὐτὰ ξυνάγεσα, μίαν τινὰ δύναμιν καὶ ἰδέαν δημιεργεῖ. ΣΩ. Τί μήν; ΞΕ. Οὐδ' ἄρα ἡ κατὰ φύσιν ἀληθῶς ἓσα ἡμῖν πολιτικὴ μηδέποτε ἐκ χρησῶν καὶ κακῶν ἀνθρώπων ἑκᾶσα εἶναι συσήσηται τινὰ πόλιν· ἀλλ' ἔυδηλον ὅτι παιδείᾳ [2] πρῶτον βασανιεῖ· μετὰ δὲ τὴν βάσανον αὖ τοῖς δυναμένοις παιδεύειν καὶ ὑπηρετεῖν πρὸς τᾶτο αὐτὸ παραδώσει, προσάττσα καὶ ἐπισατᾶσα αὐτή· καθάπερ ὑφαντικὴ τοῖς τε ξαίνσι καὶ τοῖς τἆλλα προσπαρασκευάζσιν ὅσα πρὸς τὴν πλέξιν αὐτῆς, ξυμπαρακελσθᾶσα προστάτ]ει καὶ ἐπισατεῖ· [3] τοιαῦτα δὴ ἑκάσοις ἐνδεικνῦσα τὰ ἔργα ἀποτελεῖν, οἷα ἂν ἐπιτή-

 δεια

9. Marg. Steph. γρ. ἀμφότερα ταῦτα τὰ γένη. Haec scilicet est Baſ. 2 lectio, quam ipſam ſequutus eſt Ficinus. vertit enim, *Ergo quis neget, in his* haec vtraque *ſibi inuicem plurimum aduerſari?*

1. Ald. ἡ· male.

2. Baſ. 2 παιδιᾷ· male. Ficinus, *diſciplina.*

3. Ald. Baſ. 1. 2 ἐπισατοῖ· male.

δεια ἡγῆται[4] πρὸς τὴν αὐτῆς εἶναι ξυμπλοκήν. ΣΩ. Πάνυ μὲν ἔν. ΞΕ. Ταυτὸν δή μοι τοῦθ' ἡ βασιλικὴ φαίνεται, πᾶσι τοῖς κατὰ νόμον παιδευταῖς καὶ τροφεῦσι, τὴν τῆς ἐπισατικῆς αὐτὴ[5] δύναμιν ἔχουσα, ἐκ ἐπιτρέπειν ἀσκεῖν ὅ, τι[6] μή τις πρὸς τὴν αὐτῆς ξύγκρασιν ἀπεργαζόμενος, ἦθός τι πρέπον ἀποτελεῖ. ταῦτα δὲ μόνα παρακελεύεσθαι παιδεύειν, καὶ τὲς μὲν μὴ δυναμένες κοινωνεῖν ἤθες ἀνδρείε καὶ σώφρονος, ὅσά τε ἄλλα ἐσὶ τείνοντα πρὸς ἀρετὴν, ἀλλ' εἰς ἀθεότητα καὶ ὕβριν καὶ ἀδικίαν ὑπὸ κακῆς βίᾳ φύσεως ἀπωθέμενα, θανάτοις τε ἐκβάλλει καὶ φυγαῖς καὶ ταῖς μεγίσαις κολάζουσα ἀτιμίαις. ΣΩ. Λέγεται γὰν πως ἔτω ΞΕ. Τὲς δ' ἐν[7] ἁμαθίᾳ τ' αὖ καὶ ταπεινότητι πολλῇ κυλινδεμένες, εἰς τὸ δουλικὸν ὑποζεύγνυσι γένος ΣΩ. Ὀρθότατα. ΞΕ. Τὲς λοιπὲς τοίνυν ἔσων αἱ φύσεις ἐπὶ τὸ γενναῖον ἱκαναὶ, παιδείας τυγχάνεσαι, καθίσασθαι, καὶ δέξασθαι μετὰ τέχνης ξύμμιξιν πρὸς ἀλλήλας, τάτων τὰς μὲν ἐπὶ τὴν ανδρίαν μᾶλλον ξυντεινέσας, οἷον σημονοφυὲς νομίσας αὐτῶν εἶναι τὸ σερεὸν ἦθος, τὰς δὲ ἐπὶ τὸ κόσμιον, πίονί τε καὶ μαλακῷ καὶ κατὰ τὴν εἰκόνα κροκώδει διανήματι[8] προσχρωμένας, ἐναντία

4. Ald. Bas. 1. 2 ἡγῆται· male.

5. Stephanus malebat ἀυτή· recte. vid. ad Phaedon. 13 n. 23.

6. Ald. Bas. 1. 2 ὅτι.

7. Ald. ἀν.

8. Ald. Bas. 1. 2 διανθήματι· quod iam Cornarius mutandum in διανήματι esse, praeclare monuerat in Eclogis. Neque sane aliter Ficinus legit: sed male interpretatus est, *subteminis crocei coloris*. Nam primo διάνημα idem est quod νῆμα· νῆμα autem est *stamen*, non *subtemen*. Pollux 7, 30

τίκτ' δὲ τεινάσας ἀλλήλαις, πειρᾶται τοιόνδε τινὰ τρόπον ξυνδεῖν καὶ ξυμπλέκειν. ΣΩ. Ποῖον δή; ΞΕ. Πρῶτον μὲν κατὰ τὸ ξυγγενὲς, τὸ ἀεὶ γενὲς ὂν τῆς ψυχῆς αὐτῶν μέρος θείῳ ξυναρμοσαμένη δεσμῷ μετὰ δὲ τὸ θεῖον, τὸ ζωογενὲς αὐτῶν αὖθις ἀνθρωπίνοις. ΣΩ. Πῶς τᾶτ' εἶπες αὖ; ΞΕ. Τὴν τῶν καλῶν καὶ δικαίων πέρι καὶ ἀγαθῶν, καὶ τῶν τᾶτοις ἐναντίων ὄντως ἔσαν ἀληθῆ δόξαν μετὰ βεβαιώσεως, ὁπόταν ἐν ταῖς ψυχαῖς ἐγγίγνηται, θείαν φημὶ[1] ἐν δαιμονίῳ γίγνεσθαι γένει. ΣΩ. Πρέπει γᾶν ἅτω. ΞΕ. Τὸν δὴ πολιτικὸν καὶ τὸν ἀγαθὸν νομοθέτην ἆρ' ἴσμεν ὅτι προσήκει μόνον δυνατὸν εἶναι τῇ τῆς βασιλικῆς μέσῃ τᾶτο αὐτὸ ἐμποιεῖν τοῖς ὀρθῶς μεταλαβοῦσι παιδείας, ἃς ἐλέγομεν νῦν δή; ΣΩ. Τὸ γᾶν εἰκός. ΞΕ. Ὅς δ' ἂν δρᾷ[2] γε, ὦ Σώκρατες, ἀδυνατῇ τὸ τοιᾶτον, μηδέποτε τοῖς νῦν ζητεμένοις ἐνόμασιν αὐτὸν προσαγορεύωμεν. ΣΩ. Ὀρθότατα. ΞΕ. Τί ἦν; ἀνδρεία[3] ψυχὴ λαμβανομένη τῆς τοιαύτης ἀληθείας, ἆρ' οὐχ ἡμερᾶται, καὶ τῶν δικαίων μάλιστα ἅτω κοινωνεῖν ἂν ἐθελήσειε; μὴ μεταλαβοῦσα δὲ, ἀποκλίνει μᾶλλον πρὸς θηριώδη τινὰ Φύσιν; ΣΩ. Πῶς δ' οὔ; ΞΕ. Τί δέ; τὸ τῆς κοσμίας Φύσεως, ἆρ' ἀ τᾶτων μὲν μεταλαβὸν τῶν δοξῶν, ὄντως σῶφρον καὶ κόσμιον, ὡς γε ἐν πολι-47

τείᾳ,

30 πλάτων δὲ — καλᾶ — τὸν δὲ τήμονα, νῆμα. Deinde *ſtamen* vocatur κροκῶδες διάνημα, quia ſubtemina ei inſeruntur. nam κρόκη eſt *ſubtemen*, *trama*.

9. Stephanus ſuſpicabatur deeſſe ἃς ante ἐναντία. Nam Ficini Verſio habet, *ea denique, quae in contrarium diuerſumque natura tendunt.* Non aſſentior. intercedit Datiuus ἀλλήλαις.

1. Ald. φημὶ· vitioſe.

2. Baſ. 2 ἀνδρᾶν· operarum incuria,

3. Baſ. 2 ἀνδρία· vitioſe.

τέχνη γίγνεται; μὴ κοινωνῆσαν δὲ ὧν λέγομεν, ἐπονείδιστόν τινα εὐηθείας δικαιότατα λαμβάνει φήμην; ΣΩ. Πάνυ μὲν οὖν. ΞΕ. Οὐκοῦν ξυμπλοκὴν καὶ ξύνδεσμον τοῦτον τοῖς μὲν κακοῖς πρὸς σφᾶς αὐτοὺς, καὶ τοῖς ἀγαθοῖς πρὸς τοὺς κακοὺς μηδέποτε φῶμεν γίγνεσθαι μόνιμον, μηδέ τινα ἐπιστήμην αὐτῷ δὴ σπουδῇ πρὸς τοὺς τοιούτους ἂν χρῆσθαί ποτε; ΣΩ. Πῶς γάρ; ΞΕ. Τοῖς δ' εὖ γενέσει γε ἐξ ἀρχῆς γενομένοις ἤθεσι, θρεφθεῖσί τε κατὰ φύσιν, μόνοις διὰ νόμων [4] ἐμφύεσθαι [5] καὶ ἐπὶ τούτοις δὴ τοῦτ' ἦν [6] τέχνη φάρμακον, καὶ καθάπερ εἴπομεν τοῦτον θειότερον [7] εἶναι τὸν ξύνδεσμον ἀρετῆς μερῶν φύσεως [8] ἀνομοίων καὶ ἐπὶ τἀναντία φερομένων. ΣΩ. Ἀληθέστατα. ΞΕ. Τοὺς μὲν λοιποὺς ὄντας ἀνθρωπίνους δεσμούς, ὑπάρχοντος τούτου τοῦ θείου, σχεδὸν ἁδὲν χαλεπὸν ὅτε ἐννοεῖν, ὅτε ἐννοήσαντα ἀποτελεῖν. ΣΩ. Πῶς δὴ; καὶ τίνας; ΞΕ. Τοὺς τῶν ἐπιγαμιῶν καὶ παίδων κοινωνήσεων, καὶ τῶν περὶ τὰς

4. Francof. νόμων· vitiose.

5. Stephanus rectius legi putabat ἐμφύεται· sed fatebatur tamen, Infinitivum pendere posse a praecedente verbo φῶμεν. Viderat scilicet, in Versione Ficini esse, *inditur*. Mox particulam καὶ arbitrabatur non satis aptum hic locum habere, nisi praecederet aliqua particula, cuiusmodi esset ὥστε. At sequens particula δὴ hanc ipsam vim habet.

6. Bas. 2 ἔγνω.

7. Bas. 2 θειότατον· non male.

8. In Notis Stephanus, *Legitur*, inquit, *Datiuus φύσει pro Genitiuo φύσεως· qui certe procul ablegandus esse videtur*. Scilicet Ficinus Latine vertit, *illa ipsa, quam supra diximus, partium virtutis* natura *contrariarum — conciliatio — fit*. Hinc igitur sumsit Stephanus illam lectionem.

τὰς ἰδίας ἐκδόσεις καὶ γάμους. οἱ γὰρ πολλοὶ τὰ περὶ ταῦτα ἢ οὐ ὀρθῶς ξυνδῆνται πρὸς τὴν τῶν παίδων γέννησιν. ΣΩ. Τί δή; ΞΕ. Τὰ μὲν πλάττε καὶ δυνάμεων ἐν τοῖς τοιούτοις διώγματα τί καί τις ἂν, [9] ὡς ἄξια λόγου, σπουδάζοι μεμφόμενος; ΣΩ. Οὐδέν. ΞΕ. Μᾶλλον δέ γε δίκαιον τῶν περὶ τὰ γεννα- 48
παυομένων ἐπιμέλειαν, τούτων πέρι λέγειν, εἴτι μὴ κατὰ τρόπον πράττουσιν. ΣΩ. Εἰκὸς γὰρ ἦν. ΞΕ. Πράττουσι μὴν οὐδὲ ἐξ ἑνὸς ὀρθοῦ λόγου, τὴν ἐν τῷ παραχρῆμα διώκοντες ἡσυχίαν, καὶ τῷ τὰς μὲν προσομοίους αὐτοῖς ἀσπάζεσθαι, τὰς δ' ἀνομοίους μὴ φέρειν, πλεῖστον τῇ δυσχερείᾳ μέρος ἀπονέμοντες. ΣΩ. Πῶς; ΞΕ. Οἱ μέν που κόσμιοι [1] τὸ σφέτερον αὐτῶν ἦθος ζητοῦσι, καὶ κατὰ δύναμιν γαμοῦσί τε παρὰ [2] τούτων, καὶ τὰς ἐκδιδομένας παρ' αὐτῶν εἰς τοιούτους ἐκπέμπουσι πάλιν· ὡς δ' αὖτως τὸ περὶ τὴν ἀνδρίαν γένος δρᾷ, τὴν αὐτοῦ [3] μεταδιῶκον φύσιν· δέον ποιεῖν ἀμφότερα τὰ γένη τούτων τἀναντίον ἅπαν. ΣΩ. Πῶς; καὶ διὰ τί; [4] ΞΕ. Διότι πέφυκεν ἀνδρία τε ἐν πολλοῖς γένεσιν [5] ἄμικτος γεννωμένη σώφρονι φύσει, κατὰ μὲν ἀρχὰς, ἀκμάζειν ἐώ-

9. Ald. Baſ. 1. 2 διώγματά τι καὶ τίς ἄν.

1. Ald. κόσμοι· mendoſe.

2. Abreſchius Auctar. Thucyd. p. 265 quum docuiſſet, περὶ ſaepe a librariis ſcriptum eſſe pro παρὰ, eam in rem laudat hunc locum Platonis, ibique legendum eſſe monet παρὰ τούτων. Nos vero in omnibus noſtris libris hanc ſcripturam inuenimus. Sed fortaſſis in exemplo Laemariano, quo vſus eſt Vir doctiſſimus, operae dederunt περὶ τούτων.

3. Ald. Baſ. 1. 2 αὐτοῦ.

4. Ald. διαυτί;

5. Marg. Steph. *Legitur etiam* ἐν πολλαῖς γενέσεσιν. Scilicet in Baſ. 2. Ipſe Ficinus ita legit. nam vertit, *per multas ſucceſſiones.*

μὴ, τελευτῶσα δὲ, ἐξανθεῖν παντάπασι μανίαις. ΣΩ. Εἰκός. [6] ΞΕ. Ἡ δὲ αἰδῆς γε αὖ λίαν πλήρης ψυχὴ, καὶ ἀκέρασος [7] τόλμης ἀνδρείας, ἐπὶ γενεὰς [8] πολλὰς ἅτω γεννηθεῖσα, νωθεστέρα [9] φύεσθαι τῷ καιρῷ, καὶ ἀποτελευτῶσα δὴ παντάπασιν ἀναπηρεῖσθαι. ΣΩ. Καὶ τοῦτο εἰκὸς ἅτω ξυμβαίνειν. ΞΕ. Τότε δὴ τὰς δεσμὰς ἔλεγον ὅτι χαλεπὸν ἀδὲν ξυνδεῖν, ὑπάρξοντος τῷ περὶ τὰ καλὰ καὶ ἀγαθὰ μίαν ἔχειν ἀμφότερα τὰ γένη δόξαν. τοῦτο γὰρ ἓν καὶ ὅλον ἐστὶ βασιλικῆς ξυνυφάνσεως [10] ἔργον, μηδέποτε ἐᾶν ἀφίστασθαι σώφρονα ἀπὸ τῶν ἀνδρείων ἤθη· ξυγκερκίζοντα δὲ ὁμοδοξίαις, καὶ τιμαῖς καὶ ἀτιμίαις, καὶ δόξαις, καὶ ὁμηρείων ἐκδόσεσιν εἰς ἀλλήλους, λεῖον καὶ τὸ λεγόμενον ἐνήτριον [11] ὕφασμα ξύν-

6. Ita reſcripſimus ex Ald. Baſ. 1. 2, pro ἐοικὸς, quod eſt in exemplo Stephaniano.

7. Ald. ἀκέρασας. Baſ. 1 ἀκερᾶσας· ſed in Baſ. 2 recte legitur ἀκέρασος. Cornarivs quoque ita legendum cenſuerat in Eclogis: et Ficinus vertit, *vndique catens.*

8. Ald. ἐπὶ δέ γε νέας. Baſ. 1. 2 ἐπὶ δὲ γενεάς. recte.

9. Ita Ald. Baſ. 1. 2. Sed Steph. νωθέστερα· vitioſe.

10. Pollux 7, 33 καὶ ὕφανσιν δ' ἂν εἴποις βιαζόμενος, ἐπὶ πλάτων ἦρκε, βασιλικῆ ξυνυφάνσει. Quum Pollux reſpexerit ad hunc Politici locum, Iungermanus reponendum cenſebat βασιλικῆς ξυνυφάνσεως.

11. Ald. Baſ. 1 ἐνήτθιον· ſed iam in Baſ. 2 eſt ἐνήτριον. Sic emendandum cenſuerat Cornarius: ſic Ficinus legit: vertit enim, *optimeque cohaerentem* [telam]: ſic legit Pollux 7, 3: vbi v. Iungermanus: ſic legit etiam ſcholiaſtes Auguſtanus, qui ad ἐνήτριον notauit haec, ἱμάτιον ἀηδὲς, ἔνδυμα ὑμενῶδες. recte: ſed pro ἀηδὲς reponendum videtur ἐνῦφές. Suidas: ἐνήτριον· ἔνδυμα ἐνῦφές· et Pollux d. l. ἐνῦφὲς et ἐνήτριον verba idem de-

ξυνάγοντα ἐξ αὐτῶν, τὰς ἐν ταῖς πόλεσιν ἀρχὰς ἀεὶ κοινῇ τούτοις ἐπιτρέπειν. ΣΩ. Πῶς; ΞΕ. Οὗ μὲν ἂν ἑνὸς ἄρχοντος χρεία συμβαίνῃ, τὸν ταῦτα ἀμφότερα ἔχοντα αἱρέμενον ἐπισάτην· ἢ δ' ἂν πλειόνων, τούτων μέρος ἑκατέρων ξυμμιγνύντα. τὰ μὲν γὰρ σωφρόνων ἀρχόντων ἤθη, σφέδρα μὲν ἐυλαβῆ καὶ δίκαια καὶ σωτήρια, δριμύτητος δὲ καί τινος ἰταμότητος ὀξείας καὶ πρακτικῆς ἐνδεῖται. ΣΩ. Δοκεῖ γᾶν μοι καὶ τάδε. [12] ΞΕ. Ἀνδρία [13] γε αὖ, πρὸς μὲν τὸ δίκαιον καὶ ἐυλαβὲς, ἐκείνων ἐπιδεεστέρα· τὰ δ' ἐν ταῖς πράξεσι, τὸ μὲν διαφερόντως ἴσχει. πάντα δὲ καλῶς γίγνεσθαι τὰ περὶ τὰς πόλεις ἰδίᾳ καὶ δημοσίᾳ, τούτοιν μὴ καὶ παραγενομένοιν ἀμφοῖν, ἀδύνατον. ΣΩ. Πῶς γὰρ ἄ; ΞΕ. Τοῦτο δὴ τέλος ὑφάσματος εὐθυπλοκίᾳ ξυμπλακὲν [14] γίγνεσθαι φῶμεν πολιτικῆς πράξεως, τὸ τῶν ἀνδρείων καὶ σωφρόνων ἀνθρώπων ἦθος, ὁπόταν ὁμονοίᾳ καὶ φιλίᾳ κοινὸν ξυναγαγοῦσα αὐτῶν τὸν βίον ἡ βασιλικὴ τέχνη, πάντων μεγαλοπρεπέστατον ὑφασμάτων

declarantia esse ostendit. Herodianus Grammaticus in fragm. a Piersono ad calcem Moeridis edito p. 463 ἐνήτριος χιτὼν, ὁ λεπτὸς καὶ εὐυφής. Conf. Casaubonus ad Athen. 3, 18 p. 188.

12. Bas. 2 γᾶν μοι δὴ καὶ τάδε. bene. Confirmant libri Stobaei, cuius in Eclogis Ethh. c. 44 p. 319 leguntur verba τὰ μὲν γὰρ σωφρόνων — δοκεῖ γᾶν· sed post γᾶν additum est simpliciter δὴ, omissis verbis μοι καὶ τάδε.

13. Bas. 2 ἀνδρέα.

14. Sic legunt Ald. Bas. 1. 2, neque aliter Ficinus legit, qui vertit, *Finem igitur civilis actionis recta publicatione* contextum *tunc extare dicam.* Sed marg. Steph. habet haec, *Inuenitur etiam* ξυμπλακέντος. *Aptius autem dici videtur* ὑφάσματος ξυμπλακέντος, *quam* τέλος ξυμπλακέν. Recte vero iudicasti, Stephane: sed cur dissimulasti, eam esse Cornarii emendationem, in Eclogis ab eo propositam?

των καὶ ἄριστον ἀποτελέσασα, ὥστ' εἶναι κοινὸν, τούς τ' ἄλλους ἐν ταῖς πόλεσι πάντας δούλους καὶ ἐλευθέρους ἀμπίσχουτα, συνέχῃ τούτῳ τῷ πλέγματι, καὶ καθόσον ἐνδαίμονι προσήκει γίγνεσθαι πόλει, τούτου μηδαμῆ μηδὲν ἐλλείπουσα, [15] ἄρχῃ τε καὶ ἐπιστατῇ. ΣΩ. Κάλλιστα αὖ τὸν βασιλικὸν ἀπετέλεσας ἄνδρα ἡμῖν, ὦ ξένε, καὶ τὸν πολιτικόν.

ΤΕΛΟΣ ΤΟΥ ΠΟΛΙΤΙΚΟΥ Η ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ *

15. Baſ. 2 ἐλλειποῦσα.

* Haec verba deſunt in Steph.

ΠΑΡΜΕ

ΠΑΡΜΕΝΙΔΗΣ

ΠΑΡΜΕΝΙΔΗΣ

Η

ΠΕΡΙ ΙΔΕΩΝ *

ΛΟΓΙΚΟΣ **

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΑΡΜΕΝΙΔΟΥ

ΠΡΟΣΩΠΑ

ΚΕΦΑΛΟΣ. ΑΔΕΙΜΑΝΤΟΣ. ΑΝΤΙΦΩΝ ΓΛΑΥΚΩΝ. ΠΥΘΟΔΩΡΟΣ. ΣΩΚΡΑΤΗΣ ΖΗΝΩΝ. ΠΑΡΜΕΝΙΔΗΣ ***

Ἐπειδὴ Ἀθήναζε οἴκοθεν ἐκ Κλαζομενῶν ἀφικόμεθα, κατ' ἀγορὰν ἐνετύχομεν Ἀδειμάντῳ τε καὶ Γλαύκωνι· καί μ' λαβόμενος τῆς χειρὸς ὁ Ἀδείμαντος, Χαῖρε, ἔφη, ὦ Κέφαλε· καὶ εἴ τι δέη τῶν 1

* Laërt. 9, 23 ἐς τοῦτον [*Parmenidem*] καὶ Πλάτων τὸν διάλογον γέγραφε, Παρμενίδην ἐπιγράψας, ἢ περὶ ἰδεῶν. Et veteres quidem vtriusque linguae auctores hunc Dialogum fere ita laudant, vt eum simpliciter *Parmeniden* appellent: vt Laërt. 9, 25 καθά φησι Πλάτων ἐν τῷ Παρμενίδῃ. add. Strobaeus Ecll. Physs. p. 31. Gellius N. A. 6, 13 *idque ipsum ita, vti dico, inquit, in libro, cui* Parmenides *titulus est, scriptum ab eo reperietis.* Caeterum Macrobius Saturnn. 1, 1 licere in Dialogis loquentes facere personas aetate impares, testimonio ait esse Platonis Dialogos. *quippe Socrate ita Parmenides antiquior, vt huius pueritiae vix illius apprehenderit senectutem: et tamen inter illos de rebus arduis disputatur.*

** Hoc vocabulum ipsi addidimus, constantiae caussa; quum superiorum quoque Dialogorum titulis verba adiecta sint, quae, quo e genere sit Dialogus quisque, indicent. Nam Laërtius 3, 50 τῶν δὲ λογικῶν, ὅ, τε Πολιτικὸς, καὶ ὁ Κρατύλος, καὶ

τῶν τῇδε,[2] ὧν ἡμεῖς δυνατοί, φράζε. Ἀλλὰ μὲν δή,[3] εἶπον ἐγὼ, πάρειμί γε ἐπ' αὐτὸ τοῦτο, δεησόμενος ὑμῶν. Λέγοις ἄν, ἔφη, τὴν δέησιν. Καὶ ἐγὼ εἶπον, Τῷ ἀδελφῷ ὑμῶν τῷ ὁμομητρίῳ τί ἦν ὄνομα; ἀ γὰρ μέμνημαι· παῖς δέ πω ἦν ὅτε τοπρότερον ἐπεδήμησα δεῦρο ἐκ Κλαζομενῶν. πολὺς δὲ ἤδη χρόνος ἐξ ἐκείνε. τῷ μὲν γὰρ πατρὶ, δοκῶ, Πυριλάμπης ὄνομα. Πάνυ γε, ἔφη· αὐτῷ δέ γε, Ἀντιφῶν. ἀλλὰ τί μάλισα πυνθάνῃ; Οἵδ', εἶπον ἐγὼ, πολῖταί τι[5] μοὶ εἰσὶ, μάλα φιλόσοφοι, ἀκηκόασί τε ὅτι ἔτος ὁ Ἀντιφῶν Πυθοδώρῳ τινὶ Ζήνωνος ἑταίρῳ πολλὰ ἐντετύχηκε· καὶ τὰς λόγες, ἃς ποτε Σωκράτης καὶ Ζήνων καὶ Παρμενίδης διελέχθησαν, πολλάκις ἀκάσας τῷ Πυθοδώρε, ἀπομνημονεύει. Ἀληθῆ, ἔφη, λέγεις. Τούτων τοίνυν, εἶπον, δεόμεθα ἀκῦσαι. Ἀλλ' ἀ χαλεπὸν, ἔφη. μειράκιον γὰρ ὢν αὐτὰς[6] εὖ μάλα διεμελέτησεν. ἐπεὶ νῦν γε κατὰ τὸν πάππον τε καὶ ὁμώνυμον πρὸς ἱππικῇ ταπολλὰ διατρίβει. ἀλλ' εἰ δεῖ, ἴωμεν παρ' αὐτόν. ἄρτι γὰρ ἐν-

καὶ Παρμενίδης, καὶ Σοφιςής. Sed Albinus Isagog. 5 hunc Dialogum ponit in genere ἐλεγκτικῷ.

*** In Ald. Baf. 1. 2 poſt titulum Dialogi Παρμενίδης ἢ περὶ Ἰδεῶν legitur ſimpliciter Κέφαλος, omiſſis caeteris nominibus.

1. Ald. ἐκκλαζομενῶν, coniunctim, hic et paulo poſt.

2. Verba τῶν τῇδε Ficinus in Latina Verſione praetermiſit.

3. Leg. Ἀλλὰ μὴν δὴ, aut certe ἀλλὰ μέντοι.

4. Ald. τὴν δέησιν; qui ipſe liber habet ὃν μέμνημαι, operarum vitio.

5. Stephanus ſcribendum putabat πολῖταί τε μοι εἰσὶ, vel potius πολῖταί τ' ἐμοὶ εἰσὶ, vt ἐμοὶ eſſet Pronomen poſſeſſiuum. recte, opinor. Ficinus vertit, *concines mei*. recte. Nam πολίτης certe idem eſt hoc loco, quod συμπολίτης· ſed Attici non vtuntur compoſito vocabulo. vid. Phrynichus p. 72 et Pollux 3, 51.

6. Baf. 2 αὐτός· vitioſe.

ενθένδε οἴκαδε οἴχεται· οἰκεῖ δὲ ἐγγὺς ἐν Μελίτῃ.[7] Ταῦτα εἰπόντες, ἐβαδίζομεν· καὶ κατελάβομεν τὸν Ἀντιφῶντα οἴκοι, χαλινόν τινα χαλκεῖ ἐκδιδόντα σκευάσαι. ἐπειδὴ δὲ ἐκεῖνα ἀπηλλάγη, οἵ τε ἀδελφοὶ ἔλεγον αὐτῷ ὧν ἕνεκα παρείημεν, ἀνεγνώρισέ τε με ἐκ τῆς προτέρας ἐπιδημίας, καὶ ἠσπάζετο. καὶ δεομένων ἡμῶν διελθεῖν τὰς λόγους, τὸ μὲν πρῶτον ὤκνει· πολὺ γὰρ ἔφη ἔργον εἶναι· ἔπειτα μέντοι διηγεῖτο. ἔφη δὲ δὴ ὁ Ἀντιφῶν λέγειν τὸν Πυθόδωρον ὅτι ἀφίκοντο ποτὲ[8] εἰς Παναθήναια τὰ μεγάλα Ζήνων τε καὶ Παρμενίδης. τὸν μὲν ἓν Παρμενίδην, εὖ μάλα ἤδη πρεσβύτην εἶναι, σφόδρα πολιὸν, καλὸν δὲ καὶ ἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα· Ζήνωνα δὲ, ἐγγὺς ἐτῶν τετταράκοντα τότε εἶναι, εὐμήκη δὲ, καὶ χαρίεντα ἰδεῖν· καὶ λέγεσθαι αὐτὸν παιδικὰ τῷ Παρμενίδῃ γεγονέναι. καταλύειν δὲ αὐτὼς ἔφη παρὰ τῷ Πυθοδώρῳ, ἐκτὸς τείχους, ἐν Κεραμεικῷ· οἱ δὴ καὶ αφικέσθαι τόν τε Σωκράτη, καὶ ἄλλους τινὰς μετ' αὐτῶ πολλοὺς, ἐπιθυμοῦντας ἀκοῦσαι τῶν τοῦ Ζήνωνος γραμμάτων. τότε γὰρ αὐτὰ πρῶτον ὑπ' ἐκείνων κομισθῆναι. Σωκράτη δὲ εἶναι τότε σφόδρα νέον. ἀναγινώσκειν δὲ αὐτοῖς τὸν Ζήνωνα αὐτόν· τὸν δὲ Παρμενίδην τυχεῖν ἔξω ὄντα, καὶ εἶναι πάνυ βραχὺ ἔτι λοιπὸν τῶν λόγων ἀναγινωσκομένων, ἡνίκα αὐτός τε ἐπεισελθεῖν ἔφη ὁ Πυθόδωρος ἔξωθεν, καὶ τὸν Παρμενίδην μετ' αὐτοῦ, καὶ Ἀριστοτέλη, τὸν τῶν τριάκοντα γενόμενον· καὶ σμικρὰ ἄττα

7. V. Meurſius in de Populis Atticae v. Μελίτη p. 75 ſſ.

8. Ald. Baſ. 1. 2 ἀφίκοντό ποτε.

9. Laërt. 9, 25 ὁ δὴ ζήνων διακήκοε Παρμενίδου, καὶ γέγονεν αὐτοῦ παιδικὰ καὶ εὐμήκης ἦν, καθά φησι Πλάτων ἐν τῷ Παρμενίδῃ.

10. Ald. τυχεῖν — ἔφη operarum incuria.

τα ἔτι ἐπακῆσαι τῶν γραμμάτων. ὁ μὴν αὐτός γε
2 ἀλλὰ καὶ πρότερον ἀκηκοέναι τὸ Ζήνωνος. Τὸν ἓν
Σωκράτη ἀκέσαντα, πάλιν τε κελεῦσαι τὴν πρώτην
ὑπόθεσιν τῆ πρώτῃ λόγῳ ἀναγνῶναι· καὶ ἀναγνω-
σθείσης, Πῶς, φάναι, ὦ Ζήνων, τοῦτο λέγεις; εἰ
πολλά ἐστι τὰ ὄντα, ὡς ἄρα δεῖ αὐτὰ ὅμοιά τε εἶ-
ναι καὶ ἀνόμοια; τοῦτο δὲ ἀδύνατον. οὔτε γὰρ τὰ
ἀνόμοια, ὅμοια, οὔτε τὰ ὅμοια, ἀνόμοια οἷόν τε εἶ-
ναι. οὐχ οὕτω λέγεις; Οὕτω, φάναι τὸν Ζήνωνα.
Οὐκοῦν, εἰ ἀδύνατον τά τε ἀνόμοια ὅμοια εἶναι, καὶ
τὰ ὅμοια, ἀνόμοια, ἀδύνατον δὴ καὶ πολλὰ εἶναι;
εἰ γὰρ πολλὰ εἴη, πάσχοι ἂν τὰ ἀδύνατα. ἆρα τοῦ-
τό ἐστιν ὃ βέλονται σοὶ οἱ λόγοι; ἐκ ἄλλό τι [1] ἢ δια-
μάχεσθαι παρὰ πάντα τὰ λεγόμενα, ὡς ὰ πολλά
ἐστι; καὶ τότε αὐτῷ οἴει σοὶ τεκμήριον εἶναι ἕκαστον
τῶν λόγων; ὥστε καὶ ἡγῇ τοσαῦτα τεκμήρια παρ-
έχεσθαι, ὅσοι περ λόγοι γέγραφας, ὡς ἐκ ἔστι
πολλά; ἔτως λέγεις, ἢ ἐγὼ ἐκ ὀρθῶς καταμαν-
θάνω; Οὔκ· ἀλλά, φάναι τὸν Ζήνωνα, καλῶς συνῆ-
κας ὅλον τὸ γράμμα ὃ βέλεται. Μανθάνω, εἰπεῖν
τὸν Σωκράτην, ὦ Παρμενίδη, ὅτι Ζήνων ὅδε ὰ μό-
τον τῇ ἄλλῃ σῷ [2] φιλίᾳ βέλεται ᾠκειῶσθαι, ἀλλὰ
καὶ τῷ συγγράμματι. ταυτὸν γὰρ γέγραφε τρό-
πον τινὰ ὅπερ σύ. μεταβαλὼν δὲ ἡμᾶς πειρᾶται
ἐξαπατᾶν, ὡς ἕτερόν τι λέγων. σὺ μὲν γὰρ ἐν τοῖς
ποιήμασιν ἓν φῂς εἶναι τὸ πᾶν, [3] καὶ τούτων τεκμή-
ρια παρέχῃ, καλῶς γε καὶ εὖ· ὅδε δὲ αὖ ὰ πολλὰ
φησὶν εἶναι, τεκμήρια δὲ καὶ αὐτὸς πάμπολλα καὶ
παμμεγέθη παρέχεται. τὸ ἓν τὸν μὲν, ἓν φάναι,

τὸν

1. Ald. Baſ. 1. 2 ἄλλοτι.
2. Ald. Baſ. 2 ἄλλησι. Baſ. 1 ἀλλὰ τῷ τῷ συγ. mendoſe.
3. Origenes Philoſophh. 11 p. 86 καὶ γὰρ καὶ Παρμενίδης ἓν μὲν τὸ πᾶν ὑποτίθεται. Rationem Parmenidis refellit Ariſtoteles Phyſſ. 1, 3 f.

τὸν δὲ, μὴ πολλὰ, καὶ ὅτως ἑκάτερον λέγειν ὥστε μηδὲν τῶν αὐτῶν εἰρηκέναι δοκεῖν, σχεδόν τι λέγοντας ταυτὰ, ὑπὲρ ἡμᾶς τοὺς ἄλλους φαίνεται ἡμῖν[4] τὰ εἰρημένα εἰρῆσθαι. Ναὶ, φάναι τὸν Ζήνωνα, ὦ Σώκρατες. σὺ δ' οὖν τὴν ἀλήθειαν τοῦ γράμματος οὐ πανταχοῦ ᾔσθησαι καίτοι ὥσπέρ γε αἱ Λάκαιναι σκύλακες,[5] εὖ μεταθεῖς τε καὶ ἰχνεύεις τὰ λεχθέντα. ἀλλὰ πρῶτον μέν σε τοῦτο λανθάνει,[6] ὅτι οὐ παντάπασιν οὕτω σεμνύνεται τὸ γράμμα, ὥστε ἅπερ σὺ λέγεις διανοηθὲν γραφῆναι, τοὺς ἀνθρώπους δὲ ἐπικρυπτόμενον, ὥς τι μέγα διαπραττόμενον· ἀλλὰ σὺ μὲν εἶπες τῶν συμβεβηκότων τι, ἔστι δὲ τόγε ἀληθὲς, βοήθειά τις ταῦτα τὰ γράμματα τῷ Παρμενίδου λόγῳ πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς εἰ ἕν ἐστι πολλὰ καὶ γελοῖα συμβαίνει πάσχειν τῷ λόγῳ, καὶ ἐναντία αὐτῷ.[8] ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς τοὺς τὰ πολλὰ λέγοντας, καὶ ἀνταποδίδωσι ταῦτα καὶ πλείω· τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, ἡ, εἰ πολλά ἐστιν, ἢ ἡ τοῦ ἓν εἶναι, εἴτις ἱκανῶς ἐπεξίοι. διὰ τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν. ὥστε οὐδὲ ἐμὲ βουλεύσασθαι ἐξεγένετο εἴτ' ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς, εἴτε μή. ταύτῃ οὖν σε λανθάνει, ὦ Σώκρατες, ὅτι οὐχ ὑπὸ νέου φιλονεικίας οἴει αὐτὸ γεγράφθαι, ἀλλ' ὑπὸ πρεσβυ-

4. Ald. Baſ. 1. 2 ὑμῖν. At Fic. *videntur* nobis *iſta ſupra nos dici*. recte.

5. Nam canes Laconici laudantur a veteribus ob fagacitatem et velocitatem praecipuam. vnde ap. Sophoclem Aiac. flagel. v. 8 κυνὸς Λακαίνης εὔρινος βάσις. vid. Index Theophraſteus v. κύων.

6. Ald. λανθάνειν· mendoſe.

7. Timaeus Gloſſ. et ex eo Suidas: Κωμῳδεῖν· σκώπτειν.

8. Ald. Baſ. 1. 2 αὐτῷ.

τέρᾳ Φιλοτιμίας. ἐπεὶ ὅπερ γ' ἔπον, ἃ καλῶς ἀπείκασας. Ἀλλ' ἀποδέχομαι, Φάναι τὸν Σωκράτην, καὶ ἡγεῖμαι, ὡς λέγεις, ἔχειν. Τόδε δέ μοι εἰπέ· ἃ νομίζεις εἶναι αὐτὸ καθ' αὐτὸ [1] εἰδός τι ὁμοιότητος, καὶ τῷ τοιούτῳ αὖ ἄλλό τι ἐναντίον, ὃ ἔστιν ἀνόμοιον; τούτοιν δὲ δυοῖν ὄντοιν, καὶ ἐμὲ καί σε καὶ τἆλλα, ἃ δὴ πολλὰ καλεῖμεν, μεταλαμβάνειν; καὶ τὰ μὲν τῆς ὁμοιότητος μεταλαμβάνοντα, ὅμοια γίγνεσθαι ταύτῃ τε καὶ κατὰ τοσοῦτον, ὅσον ἂν μεταλαμβάνοι; τὰ δὲ τῆς ἀνομοιότητος, ἀνόμοια; τὰ δὲ ἀμφοτέρων, ἀμφότερα; εἰ δὲ καὶ πάντα ἐναντίων ὄντων ἀμφοτέρων μεταλαμβάνει, καὶ ἔστι, τῷ μετέχειν ἀμφοῖν, ὅμοιά τε καὶ ἀνόμοια αὐτὰ αὑτοῖς, [2] τί θαυμαστόν; εἰ μὲν γὰρ αὐτὰ τὰ ὅμοια τις ἀπέφαινεν ἀνόμοια γιγνόμενα, ἢ τὰ ἀνόμοια ὅμοια, τέρας ἂν, οἶμαι, ἦν· εἰ δὲ τὰ τούτων μετέχοντα ἀμφοτέρων, ἀμφότερα ἀποφαίνει πεπονθότα, οὐδὲν ἔμοιγε, ὦ Ζήνων, ἄτοπον δοκεῖ· οὐδέ γε εἰ ἓν ἅπαντα ἀποφαίνει τις, τῷ μετέχειν τοῦ ἑνός, καὶ ταυτὰ ταῦτα, πολλά, τῷ πλήθους αὖ μετέχειν· ἀλλ' εἰ ὃ ἔστιν ἓν, αὐτὸ τοῦτο πολλὰ ἀποδείξει, καὶ αὖ τὰ πολλὰ δὴ, ἕν, τοῦτο ἤδη θαυμάσομαι. καὶ περὶ τῶν ἄλλων ἁπάντων ὡσαύτως· εἰ μὲν αὐτὰ τὰ γένη τε καὶ εἴδη ἐν αὐτοῖς ἀποφαίνοι τἀναντία ταῦτα πάθη πάσχοντα, ἄξιον θαυμάζειν· εἰ δέ με ἕν τις ἀποδείξει ἕν τε καὶ πολλά, τί θαυμαστόν; λέγων, ὅταν μὲν βέλη πολλὰ ἀποφαίνειν, ὡς ἕτερα μὲν τὰ ἐπὶ δεξιᾷ μου ἐστὶν, ἕτερα δὲ τὰ ἐπ' ἀριστερᾷ· καὶ ἕτερα μὲν τὰ πρόσθεν, ἕτερα δὲ τὰ ὄπισθεν· καὶ ἄνω καὶ κάτω ὡσαύτως· πλήθους γὰρ, οἶμαι, μετέχω· ὅταν δὲ ἕν, ἐρεῖ ὡς ἑπτὰ ἡμῶν ὄντων εἷς ἐγώ εἰμι ἄνθρωπος, μετ-

1. Ald. Baſ. 1 καθ' αὐτό· vitioſe.

2. Ald. Baſ. 1. 2 αὐτοῖς.

μετέχων καὶ τῆ ἑνός. ὥσε ἀληθῆ ἀποφαίνοι ἀμφότερα. ἐὰν ἕν τις τοιαῦτα ἐπιχειρῆ πολλὰ καὶ ἐν ταυτὰ ἀποφαίνειν, λίθος καὶ ξύλα, καὶ τὰ τοιαῦτα· φήσομεν αὐτὸν πολλὰ καὶ ἓν ἀποδεικνύναι, ἐ τὸ ἓν πολλὰ, οὐδὲ τὰ πολλὰ ἕν· οὐδέ τι θαυμαστὸν λέγειν, ἀλλ' ἅπερ ἂν πάντες ὁμολογῶμεν. ἐὰν δέ τις ὧν νῦν δὴ ἐγὼ ἔλεγον, πρῶτον μὲν διαιρῆται χωρὶς αὐτὰ καθ' αὑτὰ τὰ εἴδη, οἷον ὁμοιότητά τε καὶ ἀνομοιότητα, καὶ πλῆθος καὶ τὸ ἓν, καὶ στάσιν καὶ κίνησιν, καὶ πάντα τὰ τοιαῦτα· εἶτα ἐν ἑαυτοῖς ταῦτα δυνάμενα συγκεράννυσθαι καὶ διακρίνεσθαι ἀποφαίνῃ, ἀγαίμην ἂν ἔγωγ', ἔφη, θαυμασῶς, ὦ Ζήνων. ταῦτα δὲ ἀνδρείως μὲν πάνυ ἡγεμαι πεπραγματεῦσθαι· πολὺ μέντ' ἂν ὧδε μᾶλλον, ὡς λέγω, ἀγασθείην, εἴτις ἔχοι τὴν αὐτὴν ταύτην ἀπορίαν, ἐν αὐτοῖς τοῖς εἴδεσι παντοδαπῶς πλεκομένην, ὥσπερ ἐν τοῖς ῥηθεῖσι διήλθετε, ἔτω καὶ ἐν τοῖς λογισμῷ λαμβανομένοις ἐπιδεῖξαι. Λέ- 4
γοντος δὴ, ἔφη ὁ Πυθόδωρος, τῷ Σωκράτει ταῦτα, αὐτὸς μὲν εἶεσθαι ἐφ' ἑκάστῳ ἄχθεσθαι τόν τε Παρμενίδην καὶ τὸν Ζήνωνα· τῆς δὲ πάνυ γε αὐτῷ προσέχειν τὸν νοῦν, καὶ θαμὰ [1] εἰς ἀλλήλους βλέποντας μειδιᾶν, ὡς ἀγαμένους τὸν Σωκράτην. ὅπερ ἕν [2] καὶ παυσαμένῳ αὐτῷ εἰπεῖν τὸν Παρμενίδην, ὦ Σώκρατες, φάναι, ὡς ἄξιος εἶ ἄγασθαι τῆς ἑρμῆς τῆς ἐπὶ τοῖς λόγοις. καί μοι εἰπὲ, αὐτὸς σὺ ἔτως διήρησαι ὡς λέγεις; χωρὶς μὲν εἴδη αὐτὰ ἄττα, χωρὶς δὲ τὰ τούτων αὖ μετέχοντα; καὶ τί σοι [3] δο-

1. Moeris: θαμὰ, Ἀττικῶς· πυκνῶς, Ἑλληνικῶς.

2. Ficini Verſio Latina habet, *Vnde quum finem Socrates loquendi feciſſet.* Eum igitur Stephanus ſuſpicabatur pro ὅπερ ἕν legiſſe ὅθεν.

3. Stephanus ſcribi iubebat καί τι σοι, vt τι particula enclitica eſſet. Scilicet iam Ficinus vertit, *vide-*

κεῖ εἶναι αὐτὰ ὁμοιότης χωρὶς, ἧς ἡμεῖς ὁμοιότητος ἔχομεν, [4] καὶ ἐν δὴ, καὶ πολλά; καὶ πάντα ὅσα δὴ νῦν Ζήνωνος ἤκουες; Ἔμοιγε, Φάναι τὸν Σωκράτην. Ἦ καὶ τὰ τοιάδε, εἰπεῖν τὸν Παρμενίδην, οἷον δικαίου τι εἶδος αὐτὸ καθ' αὑτό; καὶ καλοῦ καὶ ἀγαθοῦ, καὶ πάντων αὖ τῶν τοιούτων; Ναὶ, Φάναι. Τί δ', ἀνθρώπου εἶδος χωρὶς ἡμῶν; καὶ τῶν οἷοι ἡμεῖς ἐσμὲν πάντων; αὐτό τι εἶδος ἀνθρώπου, ἢ πυρὸς, ἢ καὶ ὕδατος; Ἐν ἀπορίᾳ, Φάναι, πολλάκις δὴ, ὦ Παρμενίδη, περὶ αὐτῶν γέγονα, πότερα χρὴ Φάναι ὥσπερ περὶ ἐκείνων, ἢ ἄλλως. Ἦ καὶ περὶ τῶνδε, ὦ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν ἂν εἶναι, οἷον θρὶξ, καὶ πηλὸς, καὶ ῥύπος, ἢ ἄλλό τι ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε [5] χρὴ Φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρὶς, ἓν ἄλλο αὐτῶν ἢ ὧν ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή; Οὐδαμῶς, Φάναι τὸν Σωκράτην, ἀλλὰ ταῦτά γε, ἅπερ ὁρῶμεν, ταῦτα καὶ εἶναι· εἴδους δέ τι αὐτῶν οἰηθῆναι εἶναι, μὴ λίαν ᾖ ἄτοπον. ἤδη μέντοι ποτέ με καὶ ἔθραξε [6] μή τι ᾖ περὶ πάντων ταυτὸν· ἔπειτα

deturque tibi quiddam *esse* ipsa *seorsum similitudo*. Vnde idem Stephanus pro αὐτὸ credebat scribi debere αὐτὴ, vel αὐτὴ ᾗ, et post χωρὶς notam incisi tollendam censebat, ita vt χωρὶς pertineret ad sequentia verba, hoc sensu, *seorsum ab illa similitudine, cuius nos participes sumus.*

4. Stephanus reponendum putabat μετέχομεν, quod Plato vsus esset hoc verbo antea. recte. At iam Ficinus vertit, *cuius et nos participes sumus.*

5. Ald. Bas. I. 2 ἔτι· quod Stephanus recte mutauit in εἴτε, quum sequatur εἴτε καὶ μή· praeeunte Ficino, *num ambigis, vtrum ponenda sit horum cuiusque separata species — annon?* Eodem Ficino auctore idem Stephanus expungendum censuit ante ὧν. Nam Versio Ficini Latina habet, *aliud quiddam ab illis existens, quae nos pertractamus.*

6. Scholiastes Augustanus:

τα ὅταν ταύτη σῶ, φεύγων οἴχομαι, δείσας μή ποτε εἰς τινα ἄβυθον [7] φλυαρίαν ἐμπεσὼν διαφθαρῶ. ἐκεῖσε δ' ἓν ἀφικόμενος, εἰς ἃ δὴ νῦν ἐλέγομεν εἴδη ἔχειν, περὶ ἐκεῖνα πραγματευόμενος διατρίβω. Νέος γὰρ εἶ ἔτι, φάναι τὸν Παρμενίδην, ὦ Σώκρατες· καὶ ἔπω σε ἀντείληπται φιλοσοφία, ὡς ἔτι ἀντιλήψεται κατ' ἐμὴν δόξαν, ὅτε οὐδὲν αὐτῶν ἀτιμάσεις. νῦν δὲ ἔτι πρὸς ἀνθρώπων ἀποβλέπεις δόξας, διὰ τὴν ἡλικίαν. Τόδε ἓν μοι εἰπὲ, δοκεῖ σοι, ὡς φῂς, εἶδη εἶναι ἄττα, ὧν τάδε τὰ ἄλλα μεταλαμβάνοντα τὰς ἐπωνυμίας αὐτῶν ἴσχειν; οἷον, ὁμοιότητος μὲν μεταλαβόντα, ὅμοια· μεγέθους δὲ, μεγάλα· κάλλους δὲ καὶ δικαιοσύνης, δί-

nus: ἔθραξε· ἐτάραξεν, ἠνωχλησεν, ἤνυξε. leg. ἔνυξε. Suidas: θράττειν· ταράσσειν, ἐνοχλεῖν, νύσσειν, κινεῖν. Timaeus Gloss. θράττει· ταράττει, κινεῖ.

7. Stephanus edidit ἄμυθον. Ita enim legit Ald. Bas. 1, etiam Ficinus, vertit enim, *metuens, ne in nugas* nullis *vnquam* verbis explicandas *mersus perirem*. Cornarius legendum putabat ἀμύθητον, hoc est, ἀνεκδιήγητον, aut ἄμυθον idem significare, quod ἀμύθητον. At neutra ratio placet, quum quisque videat facile, quam alienum sit vocabulum ἄμυθον ab hoc loco, quam parum accommodatum verbis ἐμπεσὼν διαφθαρῶ. Vnice vera est lectio Bas. 2 ἄβυθον, quam Cornarius quoque in Codice Hassisteniano inuenerat. Nam primo litterae β et μ innumeris locis inter se permutatae sunt a librariis: deinde ἄβυθον quam accommodatum sit verbis ἐμπεσὼν διαφθαρῶ, quis non videt? denique Synesius, qui ad hunc locum respexit Dion. p. 35 Turn., et Origenes, qui formam loquendi Platonis imitatus est c. Celsum 8 p. 748, legerunt ipsi quoque ἄβυθον, non ἄμυθον. Nam Celsus quidem dixit ὡς πέλαγος φλυαρίας ἐμπεσών· sed verba Synesii haec sunt, καὶ κίνδυνος, ὡς ἄβυσσόν τινα φλυαρίας ἐμπεσόντας διαφθαρῆναι· ὃ καὶ Σωκράτης ἐφοβήθη παθεῖν, καὶ τὸ πάθος ἐκ ἀπεκρύψατο φίλες ἄνδρας, Παρμενίδην καὶ Ζήνωνα. Atque his ex

καιά τε καὶ καλὰ γίγνεσθαι. Πάνυ γε, Φάναι τὸν Σωκράτην. Οὐκᾶν ἤτοι ὅλα τᾶ εἴδας ἢ μέρας ἕκασον τὸ μεταλαμβάνον μεταλαμβάνει; ἢ ἄλλη τὶς ἂν μετάληψις χωρὶς τάτων γένοιτο; Καὶ πῶς ἄν; εἶπε. Πότερον ἓν δοκεῖ σοι ὅλον τὸ εἶδος ἐν ἑκάσῳ εἶναι τῶν πολλῶν, ἓν ὄν; ἢ πῶς; Τί γὰρ κωλύει, Φάναι τὸν Σωκράτην, ὦ Παρμενίδη, ἓν εἶναι; Ἓν ἄρα ὂν καὶ ταυτὸ ἐν πολλοῖς καὶ χωρὶς ἔσιν, ὅλον ἅμα ἓν ἔσαι· καὶ ἕτως αὐτὸ αὑτᾶ χωρὶς ἂν εἴη. Οὐκ ἂν εἶναι, Φάναι. Οἷον, εἰ ἡμέρα εἴη, μία καὶ ἡ αὐτὴ ἔσα, πολλαχᾶ ἅμα ἐσί, καὶ ἀδέν τι μᾶλλον αὐτὴ αὑτῆς χωρὶς ἐσιν· ἕτω καὶ ἕκασον τῶν εἰδῶν ἓν ἐν πᾶσιν ἅμα ταυτὸν εἴη. Ἡδέως γε,

ex locis Vyttenbachius, Vir Graece doctissimus, in Notis ad Plutarch. de sera numinis vindicta p. 72, putabat satis apparere, apud Platonem reponi debere ἄ; τινα ἄβυσσον Φλυαρίας. At neuter neque Origenes neque Synelius, retinuisse videtur ipsa verba Platonis, immo vtrumque imitari tantum voluisse arbitror omnino formam loquendi, ita vt non dubitarint Adiectiui loco Substantiua ponere. Reuocauimus igitur ἄβυθον e Bas. 2. Caeterum ex iis, quae dicta sunt, existimari sponte poterit a quoque, quid statuendum sit de verbis Stephani, simulatoris glorioſi, his, *Scribendum* ἄβυθον, ex vet. Cod., *vtpote melius conueniens cum illis verbis* ἐμπεσὼν διαφθαρῶ.

1. Ald. Bas. 1. 2 αὐτᾶ, vt mox ἀυτῆς, non ἄυτῆς.

2. Stephanus, aut φαὴν intellegendum esse ait, a quo verbo pendeat Infinitivus εἶναι, aut scribendum ἐκ ἂν εἴη, φάναι.

3. Ald. Bas. 1. 2 ἐσιν· ἕ ἔτω. Cornarius in Eclogis locum totum ita legi iussit, ἐκ ἂν εἶναι Φάναι, ἀλλ' οἷον — ἐσὶν, ἤτοι καὶ ἕκασον. Atque hinc intellegi potest, quo spectent verba in Notis Stephani, *Caeterum ante* οἷον *inuenitur etiam* ἀλλ', *hoc modo*, ἀλλ' οἷον εἰ ἡμέρα ἄη μία κ. λ. Sed nota incisi post ἄη est a Stephani manu. nam in reliquis exemplis verba coniuncta leguntur.

γε, Φάναι, ὦ Σώκρατες, ἓν ταυτὸν ἅμα πολλαχῆ ποιεῖς· οἷον εἰ [4] ἰσίῳ καταπετάσας πολλὲς ἀνθρώπους, Φαίης ἐπὶ πολλοῖς εἶναι ὅλον ἢ ὰ τὸ τοιοῦτον ἡγῇ λέγειν; Ἴσως, Φάναι. Ἡ ξὺν ὅλον ἐφ' ἑκάστῳ τὸ ἰσίον εἴη ἂν, ἢ μέρος αὐτοῦ ἄλλο ἐπ' ἄλλῳ; Μέρος. Μεριστὰ ἄρα, Φάναι, ὦ Σώκρατες, ἔστιν αὐτὰ τὰ εἴδη καὶ τὰ μετέχοντα αὐτῶν, μέρεσι ἂν μετέχοι, καὶ ἐκέτι ἐν ἑκάστῳ ὅλον, ἀλλὰ μέρος ἑκάστου ἂν ἐν εἴη. Φαίνεται ὅτω γε. Ἢ ξὺν ἐθελήσεις, ὦ Σώκρατες, Φάναι τὸ ἓν εἶδος ἡμῖν τῇ ἀληθείᾳ μερίζεσθαι; καὶ ἔτι ἓν ἔσαι; Οὐδαμῶς, εἰπεῖν. Ὅρα γὰρ, Φάναι, εἰ αὐτὸ τὸ μέγεθος μεριεῖς, καὶ ἕκαστον τῶν πολλῶν μεγάλων, μεγέθους μέρει σμικροτέρῳ αὐτοῦ τοῦ μεγέθους, μέγα ἔσαι, ἆρ' οὐκ ἄλογον φανεῖται; Πάνυ γε, ἔφη. Τί δέ; τοῦ ἴσου μέρους ἕκαστον σμικρὸν ἀπολαβόντι, ἕξει ᾧ ἐλάττονι ἀντὶ αὐτοῦ τοῦ ἴσου, τὸ ἔχον, ἴσόν τῳ ἔσαι; Ἀδύνατον. Ἀλλὰ τῷ σμικρῷ μέρος τις ἡμῶν ἔξει· τέτε δὲ αὐτοῦ τὸ σμικρὸν μεῖζον ἔσαι, ἄτε μέρους αὐτοῦ [5] ὄντος. καὶ ὅτω δὴ αὐτὸ τὸ σμικρὸν μεῖζον ἔσαι. [6] ᾧ δ' ἂν προστεθῇ τὸ ἀφαιρεθὲν, τοῦτο σμικρότερον ἔσαι, ἀλλ' ὰ μεῖζον ἢ πρίν. Οὐκ ἂν γένοιτο, Φάναι, τοῦτό γε. Τίνα ξὺν τρόπον, [7] εἰπεῖν, ὦ Σώκρατες, τῶν εἰδῶν σοὶ τἄλλα μεταλήψεται, μήτε κατὰ μέρη, μήτε κατὰ ὅλα μεταλαμβάνειν δυνάμενα; Οὐ μὰ τὸν Δία, Φάναι· ἔ μοι δοκεῖ ἔυκολον εἶναι τὸ τοιοῦτον ἐδαμῶς διορίσασθαι. Τί δὲ δή; πρὸς τόδε πῶς ἔχεις; Τὸ ποῖον; Οἶμαί σε ἓν τοῦδε ἓν ἕκαστον εἶδος οἴεσθαι εἶναι· ὅταν πόλλ' ἄττα μεγάλα δόξῃ σοὶ εἶναι, μία τις ἴσως δοκεῖ ἰδέα αὐτὴ εἶναι ἐπὶ πάντα ἰδόντι, ὅθεν ἓν

4. Ald. Baſ. 1. 2 οἱονὰ —.
5. Ald. Baſ. 1. 2 ἑαυτοῦ.
6. Ald. ἔσαι.
7. Baſ. 1. 2 τρόπων.

τὸ μέγα ἡγῇ εἶναι. Ἀληθῆ λέγεις, φάναι. Τί δ' αὐτὸ τὸ μέγα, καὶ τἆλλα τὰ μεγάλα, ἐὰν ὧσαύτως τῇ ψυχῇ ἐπὶ πάντα ἴδῃς, ἐχί ἕν τι αὖ μέγα φανεῖται, ᾧ ταῦτα πάντα ἀναίγκη μεγάλα φαίνεσθαι; Ἔοικεν. Ἄλλο ἄρα εἶδος μεγέθους ἀναφανήσεται, παρ' αὐτό τε τὸ μέγεθος γεγονὸς καὶ τὰ μετέχοντα αὐτοῦ· καὶ ἐπὶ τούτοις αὖ πᾶσιν ἕτερον, ᾧ ταῦτα πάντα μεγάλα ἔσαι· καὶ ἐκέτι δὴ ἓν ἕκασον σοὶ τῶν εἰδῶν ἔσαι, ἀλλ' ἄπειρα τὸ πλῆθος.

6 Ἀλλὰ φάναι, ὦ Παρμενίδη, τὸν Σωκράτην, μὴ τῶν εἰδῶν ἕκασον τούτων ᾖ νόημα, καὶ ἀδαμοῦ αὐτῷ προσήκῃ ἐγγίγνεσθαι ἄλλοθι ἢ ἐν ψυχῇ. [1] ἔτω γὰρ ἂν ἕν τε ἕκασον εἴη, καὶ ἐκ ἂν ἔτι πάσχοι ἃ νῦν δὴ ἐλέγετο. Τί ἕν; φάναι, ἓν ἑκασόν ἐσι τῶν νοημάτων, νόημα δὲ, ἀδενός; Ἀλλ' ἀδύνατον, εἰπεῖν. Ἀλλὰ τινός; Ναί. Ὄντος, ἢ ἐκ ὄντος; Ὄντος. Οὐχ ἑνός τινος, ὃ ἐπὶ πᾶσιν ἐκεῖνο τὸ νόημα ἐπὸν νοεῖ, [2] μίαν τινὰ ἔσαν ἰδέαν; Ναί. Εἶτα ἐκ εἶδος ἔσαι τοῦτο τὸ νοούμενον ἓν εἶναι, ἀεὶ ἓν τὸ αὐτὸ ἐπὶ πᾶσιν;

1. Stephanus in Notis ait, pro ψυχῇ legi etiam ψυχαῖς. Scilicet Ficinus ita legisse videtur. Versio enim eius Latina habet, *nec alibi esse, quam in animis, potest.*

2. Ald. ἐπὸν, νοεῖν. Bas. 1 ἐπὸν νοεῖν. Bas. 2 ἐπὸν νοεῖν. Cornarius, non Stephanus, νοεῖ legendum primus vidit; qui ipse corrigebat ἕπον, quod ἕπω esset *tracto, curo, apprehendo*; sed ita distinguendum monuit ἕπον, νοεῖ μίαν —. Etiam Ficinus habet *intelligit*: qui quum ἕπον verterit *sequens*, eum ἕπον legisse Stephanus putabat: qui etiam hoc loco partes egit magni dissimulatoris. Nam in Notis, *Quin etiam affertur* ἕπον, inquit, *quod dicitur sonare* Apprehendens, *ita interpretando hunc locum*, Nonne vnius cuiusdam quod in omnibus notio illa apprehendens, vnam quandam ideam esse intelligit? Haec vero est Cornarii et Versio, et coniectura, vt ante ostendimus.

πᾶσιν; Ἀνάγκη αὖ φαίνεται. Τί δὲ δή; εἰπεῖν τὸν Παρμενίδην, οὐκ ἀνάγκη, εἰ τἆλλα φῂς τῶν εἰδῶν μετέχειν, ἢ δοκεῖν σοι ἐκ νοημάτων ἕκαστον εἶναι, καὶ πάντα νοεῖν, ἢ νοήματα ὄντα, ἀνόητα εἶναι; Ἀλλ' ἐδὲ τοῦτο, φάναι, ἔχει λόγον. ἀλλ', ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται, ὧδε ἔχειν. τὰ μὲν εἴδη ταῦτα, ὥσπερ παραδείγματα, ἑστάναι, τῇ φύσει·[3] τὰ δὲ ἄλλα,[4] τούτοις ἐοικέναι, καὶ εἶναι ὁμοιώματα.[5] καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τις ἢ εἰκασθῆναι αὐτοῖς. εἰ δέ τι, ἔφη, ἔοικε τῷ εἴδει, οἷόν τε ἐκεῖνο τὸ εἶδος μὴ ὅμοιον εἶναι τῷ εἰκασθέντι, καθόσον αὐτῷ ἀφωμοιώθη; ἢ ἐστί τις μηχανή, τὸ ὅμοιον μὴ ὁμοίῳ εἶναι ὅμοιον; Οὐκ ἔστι. Τὸ δὲ ὅμοιον τῷ ὁμοίῳ ἆρ' ἡ μεγάλη[6] ἀνάγκη ἑνὸς τοῦ αὐτοῦ εἴδους μετέχειν; Ἀνάγκη. Οὗ δ' ἂν τὰ ὅμοια μετέχοντα, ὅμοια ᾖ, οὐκ ἐκεῖνο ἔσαι αὐτὸ τὸ εἶδος; Παντάπασι μὲν οὖν. Οὐκ ἄρα οἷόν τέ τι τῷ εἴδει ὅμοιον εἶναι, οὐδὲ τὸ εἶδος, ἄλλῳ· εἰ δὲ μή, παρὰ τὸ εἶδος ἀεὶ ἄλλο ἀναφανήσεται εἶδος· καὶ ἂν ἐκεῖνό τῳ ὅμοιον ᾖ,[7] ἕτερον αὖ· καὶ οὐδέποτε παύσεται ἀεὶ καινὸν εἶδος γιγνόμενον, ἐὰν καὶ τὸ εἶδος τῷ ἑαυτοῦ μετέχοντι ὅμοιον γίγνηται. Ἀληθέστατα λέγεις. Οὐκ ἄρα ὁμοιότητι τἆλλα τῶν εἰδῶν μεταλαμβάνει· ἀλλά τι ἄλλο δεῖ ζητεῖν ᾧ μεταλαμβάνει. Ἔοικεν. Ὁρᾷς οὖν, φάναι, ὦ Σώκρατες,[8] ὅση ἡ ἀπορία,

3. Marg. Steph. γρ. ἐν τῇ φύσει. Scilicet non modo Ficinus ita legit: vertit enim, *has quidem species, tanquam exemplaria, in natura consistere:* sed etiam Stobaeus in Eclogis Physicis p. 31: quo loco verba ἀλλ' ὦ Παρμενίδη — εἰκασθῆναι laudantur.

4. Stob. τὰ δ' ἄλλα.

5. Marg. Steph. γρ. ὁμοιότατα. Vbi vero?

6. Ald. μεγέλη.

7. Ald. ᾖ.

8. Ald. σώκρατες.

ρία, ἐάν τις ὡς εἴδη ὄντα αὐτὰ καθ' ἑαυτὰ [9] διορίζηται; Καὶ μάλα. Εὖ τοίνυν ἴσθι, Φάναι, ὅτι, ὡς ἔπος εἰπεῖν, οὐδέπω ἅπτῃ αὐτῆς ὅση ἐστὶν ἡ ἀπορία, εἰ ἓν εἶδος ἕκαστον τῶν ὄντων αἰεί τι ἀφοριζόμενος θήσεις. Πῶς δή; εἰπεῖν. Πολλὰ μὲν καὶ ἄλλα, Φάναι, μέγιστον δὲ τόδε· εἴτις φαίη μηδὲ προσήκειν αὐτὰ γιγνώσκεσθαι, ὄντα τοιαῦτα οἷα φαμὲν δεῖν εἶναι τὰ εἴδη, τῷ ταῦτα λέγοντι οὐκ ἂν ἔχοι τις ἐνδείξασθαι ὅτι ψεύδεται· εἰ μὴ πολλῶν μὲν τύχοι ἔμπειρος ὢν ὁ ἀμφισβητῶν, καὶ μὴ ἀφυὴς, ἐθέλοι δὲ πάνυ πολλὰ καὶ πόρρωθεν πραγματευομένῳ τῷ ἐνδεικνυμένῳ ἕπεσθαι· ἀλλ' ἀπίθανος ἂν εἴη ὁ ἄγνωσα αὐτὰ ἀναγκάζων εἶναι. Πῇ δὴ, ὦ Παρμενίδη; Φάναι τὸν Σωκράτη. Ὅτι, ὦ Σώκρατες, οἶμαι ἂν καί σε καὶ ἄλλον ὅστις αὐτήν τινα καθ' αὑτὴν αὐτῷ [10] ἑκάστῳ οὐσίαν τίθεται εἶναι, ὁμολογῆσαι ἄν, πρῶτον μὲν μηδεμίαν αὐτῶν εἶναι ἐν ἡμῖν. Πῶς γὰρ ἂν αὐτὴ καθ' αὑτὴν ἔτι εἴη; Φάναι τὸν Σωκράτη. Καλῶς λέγεις, εἰπεῖν. Οὐκοῦν καὶ ὅσαι τῶν ἰδεῶν πρὸς ἀλλήλας εἰσὶν αἳ εἰσιν, αὐταὶ πρὸς αὐτὰς [11] τὴν οὐσίαν ἔχουσιν, ἀλλ' οὐ πρὸς τὰ παρ' ἡμῖν εἴτε ὁμοιώματα, εἴτε [12] ὅπῃ δή τις αὐτὰ τίθεται, ὧν ἡμεῖς μετέχοντες, εἶναι ἕκαστα ἐπονομαζόμεθα. τὰ δὲ παρ' ἡμῖν ταῦτα, ὁμώνυμα ὄντα ἐκείνοις, αὐτὰ αὖ πρὸς αὐτά [13] ἐστιν, ἀλλ' οὐ πρὸς τὰ εἴδη, καὶ ἑαυτῶν, ἀλλ' οὐκ ἐκείνων ὅσα αὖ ὀνομάζεται ἕτω. Πῶς λέγεις; Φάναι τὸν Σωκράτην. Οἷον, Φάναι τὸν Παρμενίδην, εἴτις ἡμῶν τε δεσπότης ἢ δοῦλός ἐστιν, οὐκ αὐτῷ δεσπότῃ [14] δήπου ὅ ἐστι δεσπότης, ἐκεῖνο δοῦλός ἐστιν· οὐδὲ αὐτῷ δούλῳ,

9. Baf. καθ' αὐτά.
10. Ald. Baf. 1. 2 αὐτῷ.
11. Ald. Baf. 1. 2 αὐτάς.
12. Ald. ἅπε.
13. Baf. 1 αὐτά.
14. Ald. δεσπότης.

δέλα, ὅ ἐστι δῆλος, δεσπότης ὁ δεσπότης· ἀλλ' ἄνθρωπος ὢν ἀνθρώπα ἀμφότερα ταῦτά ἐστιν. αὕτη δὲ δεσποτεία, αὐτῆς δελείας ἐστὶν ὅ ἐστι καὶ δελεία ὡσαύτως, αὐτὴ δελεία αὐτῆς δεσποτείας. ἀλλ' ἃ τὰ ἐν ἡμῖν πρὸς ἐκεῖνα τὴν δύναμιν ἔχει, ἃδὲ ἐκεῖνα πρὸς ἡμᾶς· ἀλλ', ὃ λέγω, αὐτὰ αὑτῶν καὶ πρὸς αὐτὰ ἐκεῖνά τέ ἐστι, καὶ τὰ παρ' ἡμῖν ὡσαύτως πρὸς ἑαυτά. ἢ ἃ μανθάνεις ὃ λέγω; Πάνυ γ', εἰπεῖν τὸν Σωκράτη, μανθάνω. Οὐκοῦν καὶ ἐπιστήμη, φάναι, αὐτὴ μὲν ὅ ἐστιν ἐπιστήμη, τῆς ὅ ἐστιν ἀλήθεια, αὐτῆς ἂν ἐκείνης εἴη ἐπιστήμη; Πάνυ γε. Ἑκάστη δὲ αὖ τῶν ἐπιστημῶν ἥ ἐστιν, ἑκάστε τῶν ὄντων, ὅ ἐστιν, εἴη ἂν ἐπιστήμη. ἢ οὔ; Ναί. Ἡ δὲ παρ' ἡμῖν ἐπιστήμη, ἃ τῆς παρ' ἡμῖν ἂν ἀληθείας εἴη; καὶ αὖ ἑκάστη ἡ παρ' ἡμῖν ἐπιστήμη, τῶν παρ' ἡμῖν ὄντων ἑκάστε ἂν ἐπιστήμη συμβαίνοι εἶναι; Ἀνάγκη. Ἀλλὰ μὴν αὐτά γε τὰ εἴδη, ὡς ὁμολογεῖς, ἅτε ἔχομεν, ἅτε παρ' ἡμῖν οἷόν τε εἶναι. Οὐ γὰρ ἦν. Γιγνώσκεται δὲ γέ πε ὑπ' αὐτῶ τῶ εἴδες τῶ τῆς ἐπιστήμης αὐτὰ τὰ γένη ἅ ἐστιν ἕκαστα; Ναί. Ὅγε ἡμεῖς ἐκ ἔχομεν. Οὐ γάρ. Οὐκ ἄρα ὑπό γε ἡμῶν γιγνώσκεται τῶν εἰδῶν ἀδέν· ἐπειδὴ αὐτῆς ἐπιστήμης ἃ μετέχομεν. Οὐκ ἔοικεν. Ἄγνωστον ἄρα ἡμῖν ἐστι καὶ αὐτὸ τὸ καλὸν ὅ ἐστι, καὶ τὸ ἀγαθόν· καὶ πάντα ᾗ δὴ ὡς ἰδέας αὐτὰς ἅσας ὑπολαμβάνομεν. Κινδυνεύει. Ὅρα δὴ ἔτι τάτε δεινότερον τόδε. Τὸ ποῖον; Φαίης ἄν πε, εἴπερ ἐστιν αὐτό τι γένος ἐπιστήμης, πολὺ αὐτὸ ἀκρι-

15. Ald. Bas. 1. 2 αὐτῶν — αὐτά.

1. Ficinus vertit hunc locum ita, *Quaelibet rursus scientiarum, quae est quod est, alicuius existentium est scientia.* Vnde eum Stephanus coniiciebat legisse, ἑκάστη δὲ αὖ τῶν ἐπιστημῶν, ἥ ἐστιν ὅ ἐστιν, τινὸς τῶν ὄντων ἂν ἐπιστήμη.

ἀκριβέστερον εἶναι ἢ τὴν παρ' ἡμῖν ἐπιστήμην; καὶ κάλλος, καὶ πάντα τὰ ἄλλα ἕτω; Ναί. Οὐκοῦν, εἴπέρ τι ἄλλο αὐτῆς ἐπιστήμης μετέχει, ἐκ ἄν τινα μᾶλλον ἢ θεὸν φαίης ἔχειν τὴν ἀκριβεστάτην ἐπιστήμην; Ἀνάγκη. Ἆρ' οὖν οἷός τε αὖ ἔσαι ὁ θεὸς τὰ παρ' ἡμῖν γινώσκειν, αὐτὴν ἐπιστήμην ἔχων; Τί γὰρ οὔ; Ὅτι, ἔφη ὁ Παρμενίδης, ὡμολόγηται ἡμῖν, ὦ Σώκρατες, μήτ' ἐκεῖνα τὰ εἴδη πρὸς τὰ παρ' ἡμῖν τὴν δύναμιν ἔχειν, ἣν ἔχει, μήτε τὰ παρ' ἡμῖν, πρὸς ἐκεῖνα· ἀλλ' αὐτὰ πρὸς αὐτὰ ἑκάτερα. Ὡμολόγηται γάρ. Οὐκοῦν εἰ παρὰ τῷ θεῷ αὐτη ἐστὶν ἡ ἀκριβεστάτη δεσποτεία, καὶ αὐτη ἡ ἀκριβεστάτη ἐπιστήμη, ἔτ' ἂν ἡ δεσποτεία ἡ ἐκείνων, ἡμῶν ποτὲ ἂν δεσπόσειεν, ἔτ' ἂν ἡ ἐπιστήμη ἡμᾶς γνοίη, οὐδέ τι ἄλλο τῶν παρ' ἡμῖν· ἀλλὰ ὁμοίως ἡμεῖς ἐκείνων οὐκ ἄρχομεν τῇ παρ' ἡμῖν ἀρχῇ, οὐδὲ γιγνώσκομεν τῷ θείᾳ οὐδὲν, τῇ ἡμετέρᾳ ἐπιστήμῃ· ἐκεῖνοί τε αὖ κατὰ τὸν αὐτὸν λόγον ἔτε δεσπόται ἡμῶν εἰσιν, ἔτε γιγνώσκουσι τὰ ἀνθρώπινα πράγματα, θεοὶ ὄντες. Ἀλλὰ μὴ λίαν, ἔφη, θαυμαστὸς ὁ λόγος, εἴτις τὸν θεὸν ἀποστερήσει τῷ εἰδέναι; Ταῦτα μέντοι, ὦ Σώκρατες, ἔφη ὁ Παρμενίδης, καὶ ἔτι ἄλλα πρὸς τούτοις πάνυ πολλὰ ἀναγκαῖον ἔχειν τὰ εἴδη, εἰ εἰσὶν αὖται αἱ ἰδέαι τῶν ὄντων· καὶ ὁριεῖταί τις αὐτό τι ἕκαστον εἶδος· ὥστε ἀπορεῖν τε τὸν ἀκούοντα, καὶ ἀμφισβητεῖν, ὡς ἔτε ἐστὶ ταῦτα, εἴτε ὅτι μάλιστα εἴη, πολλὴ ἀνάγκη αὐτὰ εἶναι τῇ ἀνθρωπίνῃ φύσει ἄγνωστα. καὶ ταῦτα λέγοντα, δοκεῖν τε τι λέγειν· καὶ, ὁ ἄρτι ἐλέγομεν, θαυμαστῶς ὡς δυσανάπειστον εἶναι· καὶ ἀνδρὸς πάνυ μὲν εὐφυοῦς, τῷ δυνησομένῳ μαθεῖν ὡς-

ἔστι

2. Ald. Bas. 1. 2 δυσα- δυνησομένῳ operarum vi- νάπιστον. Mox Bas. 1 τῷ tio.

ἔσι γένος τι ἑκάστε, καὶ ἀσία αὐτὴ καθ' αὐτήν· ἔτι δὲ θαυμαστότερε, τῶ ἐυρήσοντος, καὶ ἄλλον δυνησομένε διδάξαι πάντα ταῦτα ἱκανῶς διευκρινησάμενον. Συγχωρῶ σοι, ἔφη, ὦ Παρμενίδη, ὁ Σωκράτης. πάνυ γάρ μοι κατὰ νῆν λέγεις. Ἀλλὰ μέντοι, εἶπεν ὁ Παρμενίδης, εἰ δή γέ τις, ὦ Σώκρατες, αὖ μὴ ἐάσει εἴδη τῶν ὄντων εἶναι, εἰς πάντα τὰ δὴ νῦν καὶ ἄλλα τοιαῦτα ἀποβλέψας, μηδὲ ὁριεῖται εἶδος ἑνὸς ἑκάστε, οὐδὲ ὅποι τρέψει τὴν διάνοιαν ἔξει, μὴ ἐῶν ἰδέαν τῶν ὄντων ἑκάστε τὴν αὐτὴν ἀεὶ εἶναι· καὶ ἔτω τὴν τῶ διαλέγεσθαι δύναμιν παντάπασι διαφθερεῖ. τῶ τοιάτε μὲν ἔν μοι δοκεῖς καὶ μᾶλλον ἠσθῆσθαι. Ἀληθῆ λέγεις, φάναι. Τί ἔν ποιήσεις φιλοσοφίας πέρι; πῆ τρέψη, ἀγνοεμένων τάτων; Οὐ πάνυ μοι δοκῶ καθορᾶν ἔν γε τῷ παρόντι. Πρωΐ γὰρ, εἰπεῖν, πρὶν γυμνασθῆναι, ὦ Σώκρατες, ὁρίζεσθαι ἐπιχειρεῖς καλόν τε τί καὶ δίκαιον, καὶ ἀγαθὸν, καὶ ἕν ἕκασον τῶν εἰδῶν. ἐνενόησα γὰρ καὶ πρώην σῶ ἀκέων διαλεγομένε ἐνθάδε Ἀριστοτέλει τῷδε. καλὴ μὲν ἔν καὶ θεία, εὖ ἴσθι, ἡ ὁρμὴ ἣν ὁρμᾷς ἐπὶ τὸς λόγος· ἕλκυσον δὲ σαυτὸν καὶ γύμνασον μᾶλλον διὰ τῆς δοκέσης ἀχρήτε εἶναι καὶ καλυμένης ὑπὸ τῶν πολλῶν ἀδολεσχίας, ἕως ἔτι νέος εἶ· εἰ δὲ μὴ, σὲ διαφεύξεται ἡ ἀλήθεια. Τίς ἔν ὁ τρόπος, φάναι, ὦ Παρμενίδη, τῆς γυμνασίας; Οὗτος, εἶπεν, ὅνπερ ἤκεσας Ζήνωνος. πλὴν τᾶτό γε σῶ καὶ πρὸς τᾶτο ἠγάσθην, εἰπόντος [2] ὅτι ἐκ εἴας ἐν τοῖς ἐρωμένοις εἰδὲ περὶ ταῦτα τὴν πλάνην ἐπισκοπεῖν· ἀλλὰ περὶ ἐκεῖνα ἃ μάλισα τὶς ἂν λόγῳ λάβοι, καὶ ἤδη ἂν ἡγήσαιτο εἶναι. Δοκεῖ γάρ μοι, ἔφη, ταύτῃ γε εὐδὲν χαλεπὸν εἶναι, καὶ ὅμοια καὶ ἀνόμοια, καὶ ἄλλο ὁτιῆν τὰ ὄντα πά-

8

1. Bas. 2 πρώην. 2. Ald. ἀπότος.

πάσχοντα ἀποφαίνειν. Καὶ καλῶς γ', ἔφη. χρὴ δὲ καὶ τόδε ἔτι πρὸς τούτῳ ποιεῖν· μὴ μόνον εἰ ἔστιν ἕκαστον ὑποτιθέμενον, σκοπεῖν τὰ συμβαίνοντα ἐκ τῆς ὑποθέσεως, ἀλλὰ καὶ εἰ μή ἐστι τὸ αὐτὸ τοῦτο ὑποτίθεσθαι· εἰ βούλει μᾶλλον γυμνασθῆναι. Πῶς λέγεις; φάναι. Οἷον, ἔφη, εἰ βούλει περὶ ταύτης τῆς ὑποθέσεως ἣν Ζήνων ὑπέθετο, εἰ πολλά ἐστι, τί χρὴ συμβαίνειν καὶ αὐτοῖς τοῖς πολλοῖς πρὸς αὐτὰ[3] καὶ πρὸς τὸ ἓν, καὶ τῷ ἑνὶ πρός τε αὐτὸ καὶ πρὸς τὰ πολλά· καὶ αὖ, εἰ μή ἐστι πολλὰ, πάλιν σκοπεῖν τί συμβήσεται καὶ τῷ ἑνὶ καὶ τοῖς πολλοῖς, καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα. καὶ αὖθις αὖ, ἐὰν ὑποθῇ, εἰ ἔστιν ὁμοιότης, ἢ εἰ μή ἐστι, τί ἐφ' ἑκατέρας τῆς ὑποθέσεως συμβήσεται καὶ αὐτοῖς τοῖς ὑποτεθεῖσι καὶ τοῖς ἄλλοις, καὶ πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα. καὶ περὶ ἀνομοίου ὁ αὐτὸς λόγος, καὶ περὶ κινήσεως καὶ περὶ στάσεως, καὶ περὶ γενέσεως καὶ φθορᾶς, καὶ περὶ αὐτοῦ τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι. καὶ, ἑνὶ λόγῳ, περὶ ὅτου ἂν ἀεὶ ὑποθῇ, ὡς ὄντος καὶ οὐκ ὄντος, καὶ ὁτιοῦν ἄλλο πάθος πάσχοντος, δεῖ σκοπεῖν τὰ συμβαίνοντα πρὸς αὐτὸ, καὶ πρὸς ἕκαστον τῶν ἄλλων, ὅ, τι ἂν προέλῃ, καὶ πρὸς πλείω καὶ πρὸς ξύμπαντα ὡσαύτως· καὶ τὰ ἄλλα αὖ, πρὸς αὐτά τε καὶ πρὸς ἄλλο ὅ, τι ἂν ἀεὶ προαιρῇ· ἐάν τε ὡς ὂν ὑποθῇ ὃ ὑπετίθεσο, ἐάν τε ὡς μὴ ὄν· εἰ μέλλεις, τελέως γυμνασάμενος, κυρίως
9 διόψεσθαι τὸ ἀληθές. Ἀμήχανόν γ', ἔφη, λέγεις, ὦ Παρμενίδη, πραγματείαν· καὶ οὐ σφόδρα μανθάνω. ἀλλά μοι τί οὐ διῆλθες, αὐτὸς ὑποθέμενός τι, ἵνα μᾶλλον καταμάθω; Πολὺ ἔργον, φάναι, ὦ Σώκρατες, προστάττεις, ὡς τηλικῷδε. Ἀλλὰ

3. Ald. Bas. 1. 2 αὐτά· Pronomen in iisdem libris atque sic etiam deinde hoc scriptum est vbique.

Ἀλλὰ σὺ, εἰπεῖν τὸν Σωκράτη, Ζήνων, τί ὰ διῆλθες ἡμῖν; Καὶ τὸν Ζήνωνα ἔφη γελάσαντα Φάναι, Αὐτῶ, ὦ Σώκρατες, δεώμεθα [1] Παρμενίδε. μὴ γὰρ ὰ φαῦλον ἦ ὃ λέγει. ἢ ὐχ ὁρᾷς ὅσον ἔργον προστάτ]εις; εἰ μὲν ἓν πλείους ἦμεν, ὐκ ἂν ἄξιον ἦν δεῖσθαι. ἁπρεπῆ γὰρ τὰ τοιαῦτα πολλῶν ἐναντίον λέγειν, ἄλλως τε καὶ τηλικούτῳ. ἀγνοοῦσι γὰρ οἱ πολλοὶ ὅτι ἄνευ ταύτης τῆς διὰ πάντων διεξόδε τε καὶ πλάνης ἀδύνατον ἐντυχόντα τῷ ἀληθεῖ, νῶν σχεῖν. ἐγὼ μὲν ἓν, ὦ Παρμενίδη, Σωκράτει συνδέομαι, ἵνα καὶ αὐτὸς ἀκούσω διὰ χρόνε. Ταῦτα δὴ [2] εἰπόντος τῶ Ζήνωνος, ἔφη ὁ Ἀντιφῶν Φάναι τὸν Πυθόδωρον, αὐτόν τε δεῖσθαι τῶ Παρμενίδε καὶ τὸν Ἀριστοτέλην καὶ τὰς ἄλλας, ἐνδείξασθαι ὃ λέγοι, καὶ μὴ ἄλλως ποιεῖν. Τὸν ἓν Παρμενίδην, Ἀνάγκη, Φάναι, πείθεσθαι. καίτοι δοκῶ μοι τὸ τῶ Ἰβυκείε ἵππε πεπονθέναι· ᾧ ἐκεῖνος ἀθλητῆ ὄντι καὶ πρεσβυτέρῳ, ὑφ' ἅρματι μέλλοντι [3] ἀγωνιεῖσθαι, καὶ δι' ἐμπειρίαν τρέμοντι τὸ μέλλον, ἑαυτὸν ἀπεικάζων, ἄκων ἔφη καὶ αὐτὸς, ὕτω πρεσβύτης ὢν, εἰς τὸν ἔρωτα [4] ἀναγκάζεσθαι ἰέναι. κἀγώ μοι δοκῶ μεμνημένος

1. Ald. Baſ. 1. 2 δεόμεθα. At Ficinus, *ipſum — oremus Parmenidem.*

2. Baſ. 2 δὴ mendoſe.

3. Baſ. 2 μέλλωντι.

4. Ibycus enim, Rheginus, poëta lyricus, maxime omnium flagrauit amore, quod ex eius ſcriptis apparere, Cicero auctor eſt Tuſc. 4, 33: h. e. γέγονε ἐρωτομανέστατος περὶ τὰ μειράκια, vt Suidas ait v. Ἴβυκος. Equus eius abiiſſe tum vi-

debatur Eraſmo Adagg. p. 18 in iocum prouerbialem de iis, qui nolentes, praeter aetatem ac vires, ad periculoſum negotium adigerentur. Caeterum ſcholiaſtes Auguſtanus notauit ad hunc locum iſta, Ἰβυκαίε] τὸ τῶ μελοποιῶ Ἰβύκε ῥητὸν Ἔρως αὖ τε με κυανέοισιν ὑπὸ βλεφάροις τακερὰ ὄμμασι δερκόμενος κηλήμασι παντοδαποῖς ἐς ἄπειρα δάκτυα [l. δίκτυα] καὶ κυρίδας [l. κυπρίδος] βάλλε.

μένος μάλα Φοβεῖσθαι πῶς χρὴ τηλικόνδε ὄντα διανεῦσαι [5] τοιοῦτόν τε καὶ τοσοῦτον πλῆθος λόγων. ὅμως δὲ δεῖ γὰρ χαρίζεσθαι, [6] ἐπειδὴ καὶ ὁ Ζήνων λέγει. οἱ αὐτοὶ [7] γάρ ἐσμεν. πόθεν οὖν δὴ ἀρξόμεθα; καὶ τί πρῶτον ὑποθησόμεθα; ἢ βούλεσθε, ἐπειδή περ δοκεῖ πραγματειώδη παιδιὰν παίζειν, ἀπ' ἐμοῦ ἄρξωμαι [8] καὶ τῆς ἐμαυτοῦ ὑποθέσεως, περὶ τοῦ ἑνὸς αὐτοῦ ὑποθέμενος, εἴτε ἔν ἐστιν, εἴτε μὴ ἕν, τί [9] χρὴ συμβαίνειν; Πάνυ μὲν οὖν, φάναι τὸν Ζήνωνα. Τίς οὖν, εἰπεῖν, μοὶ ἀποκρινεῖται; ἢ ὁ νεώτατος; ἥκιστα γὰρ ἂν πολυπραγμονῇ, καὶ ἃ οἴεται μάλιστ' ἂν ἀποκρίνοιτο· καὶ ἅμα ἐμοὶ ἀναπαυλα ἂν εἴη ἡ ἐκείνου ἀπόκρισις. Ἕτοιμός σοι, ὦ Παρμενίδη, φάναι τοῦτον τὸν Ἀριστοτέλην. ἐμὲ γὰρ λέγεις, τὸν νεώτατον λέγων. ἀλλ' ἐρώτα ὡς ἀποκρινεμένου δή. Εἶεν· [10] φάναι. εἰ ἔν ἐστιν, ἆλλο τι οὐκ

ἥμαν τρομέω νιν ἐπερχόμενον ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήρᾳ ἀσκῶν συν συνοχέσι [l. σὺν ὄχεσι] θοοῖς ἐς ἅμιλλαν ἔβαν. Sed editos hos Ibyci verſiculos eſſe iam ab Vrſino videmus Fragmm. Lyrr. p. 115

5. Cornarius in Eclogis reponendum cenſebat διανῦσαι, quod verbum accommodatius eſſet nomini πλῆθος· ita tamen, vt διανεῦσαι ferri poſſe putaret, ſi πλῆθος mutaretur in πέλαγος. recte. Πέλαγος legit Ficinus. Verſio enim eius Latina habet, *quum cogito, quo pacto iam grandis natu* tam profundum *diſſerendi* pelagus *tranſnatare queam*. Et profecto quum διανεῦσαι πλῆθος ſit forma loquendi frigida et inepta, ſed διανεῦσαι πέλαγος in primis apta et elegans; quum διανεῦσαι legatur in omnibus libris; quum Plato etiam alibi [Protag. p. 338 A To. I Steph.] dixerit φεύγειν ἐς τὸ πέλαγος τῶν λόγων· quum denique ſatis appareat, πλῆθος naſci potuiſſe e πέλαγος, non contra: Heſychius certe πέλαγος interpretatur etiam per πλῆθος· certiſſimum videtur, Platonem ſcripſiſſe διανεῦσαι πέλαγος λόγων, non πλῆθος. Conf. Valquenarius ad Eurip. Hippolyt. 822 et Proluſſ. in Palaephat. p. 73. Caeterum

ἂν εἴη πολλὰ τὸ ἕν; Πῶς γὰρ ἄν; Οὔτε ἄρα μέ- 10
ρος αὐτοῦ, ἅτε ὅλον αὐτὸ δεῖ εἶναι. Τί δή; Τὸ μέρος πᾶ, μέρος ὅλου ἐστί. Ναί. Τί δὲ τὸ ὅλον; ᾧ μὴ ἂν μέρος μηδὲν ἀπῇ, ὅλον ἂν εἴη; Πάνυ γε. Ἀμφοτέρως ἄρα τὸ ἓν ἐκ μερῶν ἂν εἴη, ὅλον τε ὂν καὶ μέρη ἔχον. Ἀνάγκη. Ἀμφοτέρως ἂν ἄρα ἅτω τὸ ἓν πολλὰ εἴη, ἀλλ' οὐχ ἕν. Ἀληθῆ. Δεῖ δέ γε μὴ πολλὰ ἀλλ' ἓν αὐτὸ εἶναι. Δεῖ. Οὔτ' ἄρα ὅλον ἔσαι, ἅτε μέρη ἕξει, εἰ ἓν ἔσαι τὸ ἕν. Οὐ γάρ. Οὐκοῦν εἰ μηδὲν ἕξει μέρος, ἅτ' ἀρχὴν, ἅτε τελευτὴν, ἅτε μέσον ἕξει. μέρη γὰρ ἂν ἤδη αὐτοῦ τὰ τοιαῦτα εἴη. Ὀρθῶς. Καὶ μὴν τελευτή γε καὶ ἀρχὴ, πέρας ἑκάσε. Πῶς δ' οὔ; Ἄπειρον ἄρα τὸ ἓν, εἰ μήτε ἀρχὴν μήτε τελευτὴν ἕξει. Ἄπειρον. Καὶ ἄνευ σχήματος ἄρα. ἅτε γὰρ ἂν σρογγύλε ἅτε εὐθέος μετέχοι. Πῶς; Στρογγύ-

λον

terum e ſupra dictis intellegi poteſt, quo ſpectent verba in Notis Stephani, qui et ipſe ſequendam cenſebat lectionem διανεῦσαι πέλαγος λόγων, *Affertur etiam* διανῦσαι *pro* διανεῦσαι.

6. Stephanus in Notis, *Annotatur*, inquit, *et alia lectio, abſque* γὰρ, *quam ſane particulam abeſſe malim.* Scilicet Ficinus ita legit. vertit enim, *obſequendum tamen, quum* —.

7. Ald. Baſ. 1. 2 αὐτοῖ, omiſſo Articulo. Stephanus recepit οἱ αὐτοῖ, e Verſione Latina Ficini, in qua eſt, *iidem enim ſumus.* Sed Cornarius in Eclogis legi iubet παῦροι pro αὐτοῖ· quod praecedat ἃ μὲν ἓν πλείας ἦμεν. Atque eo referri debent verba in Notis Stephani, diſſimulatoris, *Quin etiam affertur haec lectio,* παῦροι γάρ ἐσμεν, *et ad eius confirmationem facere exiſtimantur illa verba,* ἃ μὲν ἓν πλείας ἦμεν —.

8. Ald. Baſ. 1. 2 ἄρξομαι male.

9. Ald. ἕν τι. Baſ. 1. 2 ἕν, τι male.

10. Ald. Baſ. 1 ἀποκρινομένε δή. ἦεν. Baſ. 2 ἀποκριναμένη. Εἶεν δή· male. Ficinus vero, *tanquam libentiſſime* reſponſurum.

1. Ald. Ἀνάγκη· operarum vitio.

λον γέ πᾳ ἐστὶ τοῦτο, ᾧ ἂν τὰ ἔσχατα πανταχῇ ἀπὸ τοῦ μέσου ἴσον ἀπέχῃ. Ναί. Καὶ μὴν εὐθύ γε, ᾧ ἂν τὸ μέσον ἀμφοῖν τοῖν ἐσχάτοιν ἐμπροσθεν ᾖ. Οὕτως. Οὐκοῦν μέρη ἂν ἔχοι τὸ ἓν, καὶ πόλλ' ἂν εἴη, εἴτ' εὐθέος σχήματος εἴτε περιφερῆς [2] μετέχοι. Πάνυ μὲν οὖν. Οὔτε ἄρα εὐθὺ ὄντε περιφερές ἐστιν· ἐπείπερ οὐδὲ μέρη ἔχει. Ὀρθῶς. Καὶ μὴν τοιοῦτόν γε ὂν, οὐδαμοῦ ἂν εἴη. ὄντε γὰρ ἐν ἄλλῳ ὄντε ἐν ἑαυτῷ εἴη. Πῶς δή; Ἐν ἄλλῳ μὲν ὄν, κύκλῳ πᾳ ἂν περιέχοιτο [3] ὑπ' ἐκείνου ἐν ᾧ ἂν εἴη, καὶ πολλαχοῦ ἂν αὐτοῦ ἅπτοιτο πολλοῖς· τοῦ δὲ ἑνός τε καὶ ἀμερῆς καὶ κύκλου μὴ μετέχοντος ἀδύνατον πολλαχῇ κύκλῳ ἅπ]εσθαι. Ἀδύνατον. Ἀλλὰ μὴν αὐτό γε ἐν ἑαυτῷ ὂν, κἂν ἑαυτὸ εἴη περιέχον, οὐκ ἄλλο ἢ αὐτό· εἴπερ καὶ ἐν ἑαυτῷ εἴη. ἓν τῳ γάρ τι εἶναι μὴ περιέχοντι ἀδύνατον. Ἀδύνατον γάρ. Οὐκοῦν ἕτερον μὲν ἄν τι εἴη αὐτὸ τὸ περιέχον, ἕτερον δὲ, τὸ περιεχόμενον. ἓ γὰρ ὅλον γε ἄμφω ταυτὸν ἅμα πείσεται καὶ ποιήσει· καὶ ὥτω τὸ ἓν οὐκ ἂν εἴη ἔτι ἕν, ἀλλὰ δύο. Οὐ γὰρ ἦν. Οὐκ ἄρα ἐστί πᾳ τὸ ἓν, μήτε ἐν ἑαυτῷ μήτε ἐν ἄλλῳ ἐνόν. Οὐκ ἔστιν. Ὅρα δὴ, ὅτως ἔχον, εἰ οἷόντε ἐστὶν ἑστάναι ἢ κινεῖσθαι. Τί δὴ γὰρ ἄ; Ὅτι κινούμενόν τε, [1] ἢ φέροιτο ἢ ἀλλοιοῖτο ἄν. αὗται γὰρ μόναι κινήσεις. Ναί. Ἀλλοιούμενον δὲ τὸ ἓν ἑαυτοῦ, ἀδύνατόν πᾳ ἓν ἔτι πᾳ εἶναι. Ἀδύνατον. Οὐκ ἄρα κατ' ἀλλοίωσίν γε κινεῖται. Οὐ φαί-

2. Baſ. 1. 2 περιφορᾶς· mendoſe.

3. Ald. Baſ. 1. 2 περιέχοι τό.

1. Marg. Steph. *Pro* τε *ſcribendum eſt* τι, *vel potius* γε, *vt huius Participii nominatiuus ſit* τὸ ἕν. recte. Poſterior emendatio haud dubie vera eſt. At etiam in Stobaei Eclogis Phyſicis p. 30, vbi verba ὅτι κινούμενον — καὶ, laudantur, legitur τε.

Φαίνεται. Ἀλλ' ἆρα [2] τῷ Φέρεσθαι; Ἴσως. Καὶ μὴν, εἰ Φέροιτο τὸ ἓν, ἤτοι ἐν τῷ αὐτῷ ἂν περιΦέροιτο κύκλῳ, ἢ μεταλλάττοι χώραν ἑτέραν ἐξ ἑτέρας. Ἀνάγκη. Οὐκοῦν, κύκλῳ μὲν περιΦερόμενον, ἐπὶ μέσα βεβηκέναι ἀνάγκη, καὶ τὰ περὶ τὸ μέσον Φερόμενα, ἄλλα μέρη ἔχειν ἑαυτοῦ· ᾧ δὲ μήτε μέσα μήτε μερῶν προσήκει, τίς μηχανὴ τοῦτο κύκλῳ ποτὲ ἐπὶ τοῦ μέσα ἐνεχθῆναι; Οὐδεμία. Ἀλλὰ δὴ χώραν ἀμείβον, [3] ἄλλοτ' ἄλλοθι γίγνεται, καὶ ἕτω κινεῖται; Εἴπερ γε δή. Οὐκοῦν εἶναι μέν πᾳ ἕν τινι αὐτὸ, ἀδύνατον ἐΦάνη; Ναί. Ἆρ' ἓν γίγνεσθαι ἔτι ἀδυνατώτερον; Οὐκ ἐννοῶ ὅπη. Εἰ ἕν τῳ τι γίγνεται, οὐκ ἀνάγκη μήτέ πω ἐν ἐκείνῳ εἶναι, ἔτι ἐγγιγνόμενον, μήτέ τι ἔξω ἐκείνα παντάπασιν, εἴπερ ἤδη ἐγγίγνεται; Ἀνάγκη. Εἰ ἄρα τι ἄλλο πείσεται, τοῦτο ἐκεῖνο ἂν μόνον πάσχοι ἃ μέρη εἴη. τὸ μὲν γὰρ ἄν τι αὐτοῦ, ἤδη ἐν ἐκείνῳ, τὸ δὲ, ἔξω εἴη ἅμα. τὸ δὲ μὴ ἔχον μέρη, οὐχ οἷόν τέ πᾳ ἔσαι τρόπῳ ὅδενὶ ὅλον ἅμα μήτε ἐντὸς εἶναί τινος, μήτε ἔξω. Ἀληθῆ. Οὗ δὲ μήτε μέρη εἰσὶ, μήτε ὅλον τυγχάνει ὄν, ἆ πολὺ ἔτι ἀδυνατώτερον ἐγγίγνεσθαί πᾳ; μήτε κατὰ μέρη, μήτε ὅλον ἐγγιγνόμενον; Φαίνεται. Οὔτ' ἄρα ποι ἰὸν καὶ ἕν τῳ γιγνόμενον, χώραν ἀλλάττει, ἔτ' ἐν τῷ αὐτῷ περιΦερόμενον, ἔτε ἀλλοιούμενον. Οὐκ ἔοικε. Κατὰ πᾶσαν ἄρα κίνησιν τὸ ἓν ἀκίνητον. Ἀκίνητον. Ἀλλὰ μὴν καὶ εἶναί γε Φαμὲν ἕν τινι αὐτὸ ἀδύνατον. Φαμὲν γάρ. Οὐδ' ἄρα ποτὲ ἐν τῷ αὐτῷ ἐστι. Τί δή; Ὅτι ἤδη ἂν ἐν ἐκείνῳ εἴη ἐν ᾧ τῷ αὐτῷ ἐστι. Πάνυ μὲν οὖν. Ἀλλ' ἔτε ἐν ἑαυτῷ ἔτε ἐν ἄλλῳ οἷόντε ἦν αὐτῷ ἓν εἶναι. Οὐ γὰρ ἦν. Οὐδέποτε ἄρα ἐστὶ τὸ ἓν ἐν τῷ αὐτῷ. Οὐκ ἔοικεν. Ἀλλὰ μὴν τόγε

2. Ald. Bas. 1 ἄρα. 3. Bas. 1 ἄμειβον.

μηδέποτε ἐν τῷ αὐτῷ ὄν, ἅτε ἡσυχίαν ἄγει, ἅτε ἕστηκεν. Οὐ γὰρ οἷόν τε. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, ἅτε ἕστηκεν, [4] ἅτε κινεῖται. Οὔκουν δὴ φαίνεταί γε. Οὐδὲ μὴν ταυτόν γε ἅτε ἑτέρῳ ἅτε ἑαυτῷ ἕσαν, ἀδ' αὖ ἕτερον ἅτε αὐτῶ, [5] ἅτε ἑτέρᾳ ἂν εἴη. Πῇ δή; Ἕτερον μέν πᾳ ἑαυτῶ ὂν, ἑνὸς ἕτερον ἂν εἴη, καὶ οὐκ ἂν εἴη ἕν. Ἀληθῆ. Καὶ μὴν ταυτόν γε ἑτέρῳ ὂν, ἐκεῖνο ἂν εἴη, αὐτὸ δ' οὐκ ἂν εἴη. ὥστε οὐδ' ἂν ὅτως εἴη ὅπερ ἔστιν ἓν, ἀλλ' ἕτερον ἑνός. Οὐ γὰρ ἦν. Ταυτὸν μὲν ἄρα ἑτέρῳ, ἢ ἕτερον ἑαυτῶ οὐκ ἕσαν. Οὐ γάρ. Ἕτερον δέ γε ἑτέρᾳ οὐκ ἕσαν, ἕως ἂν ἦ ἕν. Οὐ γὰρ ἑνὶ προσήκει ἑτέρῳ τινὸς εἶναι, ἀλλὰ μόνῳ ἑτέρῳ ἑτέρᾳ, ἄλλῳ δὲ οὐδενί. Ὀρθῶς. Τῷ [6] μὲν ἄρα ἓν εἶναι, οὐκ ἕσαν ἕτερον. ἢ οἴει; Οὐ δῆτα. Ἀλλὰ μήν, εἰ μὴ τέτῳ, οὐχ ἑαυτῷ [7] ἕσαν· εἰ δὲ μὴ αὑτῷ, [8] οὐδὲ αὐτό. αὐτὸ δὲ μηδαμῇ ὂν ἕτερον, οὐδενὸς ἕσαν ἕτερον. Ὀρθῶς. Οὐδὲ μὴν ταυτὸν ἑαυτῷ ἕσαν. Πῶς δ' ἔ; Οὐχ ἥπερ τῶ ἑνὸς φύσις, αὐτὴ δήπᾳ καὶ τῶ ταυτῶ; Τί δή; Ὅτι οὐκ ἐπειδὰν ταυτὸν γένηταί τῳ τι, ἓν γίγνεται. Ἀλλὰ τί μήν; Τοῖς πολλοῖς ταυτὸν γενόμενον, πολλὰ ἀνάγκη γίγνεσθαι, ἀλλ' οὐχ ἕν. Ἀληθῆ. Ἀλλ' εἰ τὸ ἓν καὶ τὸ ταυτὸν μηδαμῇ διαφέρει, ὁπότε

4. Bas. 1. 2 ἕστικεν.

5. Ald. Bas. 1. 2 ἀυτῶ.

6. Bas. 1. 2 τό. Sed Cornarius in Eclogis legendum docuit τῷ, quem ducem sequutus est Stephanus. Sed hic non debebat in Notis scribere, *In praeced. edit. perperam* τὸ μὲν ἄρα. nam liber Aldinus diserte scriptum exhibet τῷ μὲν ἄρα.

7. Idem Cornarius reponi iussit ἑαυτῶ. Vnde Stephanus in Notis, *Sed et pro* ἑαυτῷ, inquit, *atque* ἀυτῷ — *affertur* ἑαυτῶ *et* ἀυτῶ.

8. Ald. Bas. 1. 2 ἀυτῷ· quod Cornarius mutari iussit in ἀυτῶ.

9. Ald. Bas. 1. 2 ἐγγίγνετο.

τε τι ταυτὸν ἐγίγνετο, ἀεὶ ἂν ἓν ἐγίγνετο· [9] καὶ ὁπότε ἓν, ταυτόν. Πάνυ γε. Εἰ ἄρα τὸ ἓν ἑαυτῷ ταυτὸν ἔσαι, οὐχ ἓν ἑαυτῷ ἔσαι· καὶ ἕτως ἓν ὄν, οὐχ ἓν ἔσαι. Ἀλλὰ μὴν τοῦτό γε ἀδύνατον. Ἀδύνατον ἄρα καὶ τῷ ἑνὶ, ἢ ἑτέρᾳ ἕτερον εἶναι, ἢ ἑαυτῷ ταυτόν. Ἀδύνατον. Οὕτω δὴ ἕτερόν γε ἡ ταυτὸν τὸ ἓν ἅτ' ἂν αὐτῷ [10] ἅτ' ἂν ἑτέρῳ εἴη. Οὐ γὰρ ἔν. Οὐδὲ μὴν ὅμοιον τινὶ ἔσαι ἀδ' ἀνόμοιον, ἅθ' ἑαυτῷ ἅθ' ἑτέρῳ. Τί δή; Ὅτι τὸ ταυτόν πᾳ πεπονθὸς, ὅμοιον. Ναί. Τῷ δέ γε ἑνὸς χωρὶς ἐφάνη τὴν φύσιν τὸ ταυτόν. Ἐφάνη γάρ. Ἀλλὰ μὴν εἴτι πέπονθε, χωρὶς τοῦ ἓν εἶναι, τὸ ἓν, πλείω ἂν εἶναι πεπάνθοι, ἢ ἕν. τοῦτο δὲ ἀδύνατον. Ναί. Οὐδαμῶς ἔσιν ἄρα ταυτὸν πεπονθὸς εἶναι τὸ ἓν ἅτε ἄλλῳ ἅτε ἑαυτῷ. Οὐ φαίνεται. Οὐδὲ ὅμοιον ἄρα δυνατὸν αὐτὸ εἶναι ἅτε ἄλλῳ, ἅτε ἑαυτῷ. Οὐκ ἔοικεν. Οὐδὲ μὴν ἕτερόν γε πέπονθεν εἶναι τὸ ἕν. καὶ γὰρ ἕτω πλείω ἂν πεπόνθοι εἶναι ἢ ἕν. Πλείω γάρ. Τό γε μὴν ἕτερον πεπονθὸς ἢ ἑαυτοῦ, ἢ ἄλλου, ἀνόμοιον ἂν εἴη ἢ ἑαυτῷ ἢ ἄλλῳ· εἴπερ τὸ ταυτὸ πεπονθὸς, ὅμοιον. Ὀρθῶς. Τὸ δέ γε ἓν, ὡς ἔοικεν, ἀδαμῶς ἕτερον πεπονθὸς, ἀδαμῶς ἀνόμοιόν ἐσιν ἅτε ἑαυτῷ ἅτε ἑτέρῳ. Οὐ γὰρ ἔν. Οὔτε ἄρα ὅμοιαν, ἅτε ἀνόμοιον ἅθ' ἑτέρῳ ἅτε ἑαυτῷ ἂν εἴη τὸ ἕν. Οὐ φαίνεται. Καὶ μὴν τοιοῦτόν γε ὂν, ἅτε ἴσον ἅτε ἄνισον ἔσαι, ἅτε ἑαυτῷ ἅτε ἄλλῳ. Πῇ δή; Ἴσον μὲν ὄν, τῶν αὐτῶν μέτρων ἔσαι ἐκείνῳ ᾧ ἂν ἴσον ᾖ. Ναί. Μεῖζον δέ πᾳ ἢ ἔλαττον ὂν, οἷς μὲν ἂν σύμμετρον ᾖ, τῶν μὲν ἐλαττόνων πλείω μέτρα ἕξει, τῶν δὲ μειζόνων, ἐλάττω. Ναί. Οἷς δ' ἂν μὴ σύμμετρον, [11] τῶν μὲν, σμικροτέρων, τῶν δὲ,

10. Ald. ἀυτῷ.

11. Bas. 1 σύμμετρον — ἀντινωῶν· vitiose.

μειζόνων μέτρων ἔσαι. Πῶς γὰρ ἄ; Οὐκοῦν ἀδύνατον τὸ μὴ μετέχον τοῦ αὐτοῦ, ἢ μέτρων τῶν αὐτῶν εἶναι, ἢ ἄλλων ὡντινωνοῦν τῶν αὐτῶν; Ἀδύνατον. Ἴσον μὲν ἄρα ἅτ' ἂν ἑαυτῷ ἅτε ἄλλῳ εἴη, μὴ τῶν αὐτῶν μέτρων ὄν. Οὔκουν φαίνεταί γε. Ἀλλὰ μὴν πλειόνων γε μέτρων ὂν ἢ ἐλαττόνων, ὅσων περ μέτρων, τοσούτων καὶ μερῶν ἂν εἴη. καὶ ἅτως αὖ ἐκέτι ἓν ἔσαι, ἀλλὰ τοσαῦτα ὅσά περ καὶ τὰ μέτρα. Ὀρθῶς. Εἰ δέ γε ἑνὸς μέτρου εἴη, ἴσον ἂν γίγνοιτο τῷ μέτρῳ. τοῦτο δὲ ἀδύνατον ἐφάνη, ἴσόν τῳ αὐτὸ εἶναι. Ἐφάνη γάρ. Οὔτε ἄρα ἑνὸς μέτρου μετέχον, ἅτε πολλῶν ἅτε ὀλίγων, ἅτε τοπαράπαν τοῦ αὐτοῦ μετέχον, ἅτε ἑαυτῷ ποτὲ, ὡς ἔοικεν, ἔσαι ἴσον, ἅτε ἄλλῳ· ἀδ' αὖ μεῖζον ἀδὲ ἔλαττον, ἅτε
12 ἑαυτοῦ ἅτε ἑτέρου. Παντάπασι μὲν ἓν ἅτω. Τί δέ; πρεσβύτερον, ἢ νεώτερον, ἢ τὴν αὐτὴν ἡλικίαν ἔχειν τὸ ἓν δοκεῖ τῳ δυνατὸν εἶναι; Τί δὴ γὰρ ἄ; Ὅτι πῃ ἡλικίαν μὲν τὴν αὐτὴν ἔχον ἢ ἑαυτῷ ἢ ἄλλῳ, ἰσότητος χρόνῳ καὶ ὁμοιότητος μεθέξει· ὧν ἐλέγομεν ἀ μετεῖναι τῷ ἑνὶ, ἅτε ὁμοιότητος ἅτε ἰσότητος. Ἐλέγομεν γὰρ ἓν. Καὶ μὴν καὶ ὅτι ἀνομοιότητός τε καὶ ἀνισότητος ἀ μετέχει, καὶ τοῦτο ἐλέγομεν. Πάνυ μὲν ἓν. Πῶς ἓν οἷόν τε ἔσαι τινὸς ἢ πρεσβύτερον ἢ νεώτερον εἶναι, ἢ τὴν αὐτὴν ἡλικίαν ἔχειν τῳ; τοιοῦτον ὄν; Οὐδαμῶς. Οὐκ ἄρ' ἂν εἴη νεώτερόν γε ἀδὲ πρεσβύτερον, ἀδὲ τὴν αὐτὴν ἡλικίαν ἔχον τὸ ἓν ἅτε αὑτῷ ἅτε ἄλλῳ. Οὐ φαίνεται. Ἆρ' ἓν ἀδὲ ἐν χρόνῳ τοπαράπαν δύναιτ' ἂν εἶναι τὸ ἓν, εἰ τοιοῦτον εἴη; ἢ ἐκ ἀνάγκη, ἐάν τι ᾖ ἐν χρόνῳ, ἀεὶ αὐτὸ αὑτοῦ πρεσβύτερον γίγνεσθαι; Ἀνάγκη. Οὐκοῦν τό γε πρεσβύτερον, ἀεὶ νεωτέρου πρεσβύτερον. Τί μήν; Τὸ πρεσβύτερον ἄρα ἑαυτοῦ γιγνόμενον, καὶ νεώτερον ἑαυτοῦ ἅμα γίγνεται· εἴπερ μέλλει ἔχειν ὅτου πρεσβύτερον γίγνεται. Πῶς λέγεις;

γεις; Ὥδε. διάφορον ἕτερον ἑτέρῳ ἀδὲν δεῖ γίγνεσθαι ἤδη ὄντος διαφόρου· ἀλλὰ τῷ μὲν ἤδη ὄντος, ἤδη εἶναι, τῷ δὲ γεγονότος, γεγονέναι· τῷ δὲ μέλλοντος, μέλλειν· τῷ δὲ γιγνομένῳ, ἅτε γεγονέναι, ἅτε μέλλειν, ἅτε εἶναί πω τὸ διάφορον· ἀλλὰ γίγνεσθαι, καὶ ἄλλως ἀκ εἶναι. Ἀνάγκη γάρ. Ἀλλὰ μὴν τόγε πρεσβύτερον διαφορότης [1] νεωτέρου ἐστί, καὶ ἀδενὸς ἄλλου. Ἔστι γάρ. Τὸ ἄρα πρεσβύτερον ἑαυτῷ γιγνόμενον, ἀνάγκη καὶ νεώτερον ἅμα ἑαυτῷ γίγνεσθαι. Ἔοικεν. Ἀλλὰ μὴν καὶ μήτε πλείω ἑαυτῷ χρόνον [2] γίγνεσθαι, μήτ' ἐλάττω· ἀλλὰ τὸν ἴσον χρόνον καὶ γίγνεσθαι ἑαυτῷ καὶ εἶναι. καὶ γεγονέναι, καὶ μέλλειν ἔσεσθαι. Ἀνάγκη γὰρ ἦν καὶ ταῦτα. Ἀνάγκη ἄρα ἐστὶν, ὡς ἔοικεν, ὅσα γε ἐν χρόνῳ ἐστὶ, καὶ μετέχει τῷ τοιούτῳ, ἕκαστον αὐτῶν τὴν αὐτήν τε αὐτὸ ἑαυτῷ ἡλικίαν ἔχειν, καὶ πρεσβύτερόν τε αὐτῷ ἅμα καὶ νεώτερον γίγνεσθαι. Κινδυνεύει. Ἀλλὰ μὴν τῷ γε ἐνὶ τῶν τοιούτων παθημάτων ἀδὲν μετῆν. Οὐ γὰρ μετῆν. Οὐδὲ ἄρα χρόνῳ αὐτῷ μέτεστιν, ἀδ' ἔστιν ἔν τινι χρόνῳ. Οὔκουν δὴ, ὥς γε ὁ λόγος ἐρεῖ. [3] Τί ἦν; τὸ ἦν, καὶ τὸ γέγονε, καὶ τὸ ἐγίνετο, ἀ χρόνῳ μέθεξιν δοκεῖ σημαίνειν τῷ ποτὲ γεγονότος; Καὶ μάλα. Τί δέ; τὸ ἔσαι, καὶ τὸ γενήσεται, καὶ τὸ

P 5 γε-

1. Est verbum Platoni proprium, Moeride quidem auctore: διαφορότης, vel, vt Pierſonus edidit, διαφορότητος· Πλάτων ἐν Θεαιτήτῳ [f. 43]· παρ' ἄλλῳ ἀκ εὗρον· ſcilicet apud nullum veterem ſcriptorem Atticum Platonique aequalem. Phileb. 3 et 4 eſt διαφορότητα.

2. Ald. Baſ. 1. 2 χρόνῳ.

3. Marg. Steph. *Scribendum eſſe ὡς γε ὁ λόγος αἰρῇ, oſtendunt alii huius etiam ipſius ſcriptoris loci.* recte. At Ficinus quoque legit ἐρῇ. vertit, *Non ſane, vt ratio dictat.*

γενηθήσεται, ἀ τῦ ἔπειτα, τῦ μέλλοντος; Ναί. Τὸ δὲ δὴ ἔστι, καὶ τὸ γίγνεται, ἀ τῦ νῦν παρόντος; Πάνυ μὲν ἕν. Εἰ ἄρα τὸ ἓν μηδαμῆ μηδενὸς μετέχει χρόνε, ἄτε ποτὲ γέγονεν, ἄτ' ἐγίγνετο, ἄτ' ἦν ποτε, ἄτε νῦν γέγονεν, ἄτε γίγνεται, ἄτ' ἐστὶν, ἄτ' ἔπειτα γενήσεται, ἄτε γενηθήσεται, ἄτ' ἔσαι. Ἀληθέσατα. Ἔστιν ἕν ἐσίας ὅπως ἂν τι μετάσχοι ἄλλως ἢ κατὰ τάτων τι; Οὐκ ἔστιν. Οὐδαμῶς ἄρα τὸ ἓν ἐσίας μετέχει. Οὐκ ἔοικεν. Οὐδαμῶς ἄρα ἐστὶ τὸ ἕν. Οὐ φαίνεται. Οὐδ' ἄρα ἄτως ἐστὶν ὥσε ἓν εἶναι. εἴη γὰρ ἂν ἤδη ὂν, καὶ ἐσίας μετέχον. ἀλλ' ὡς ἔοικε, τὸ ἓν, ἄτε ἕν ἐστιν, ἄτε ἐστὶν, εἰ δεῖ τῷ τοιῷδε λόγῳ πιστεύειν. Κινδυνεύει. Ὁ δὲ μὴ ἔστι, τάτῳ τῷ μὴ ὄντι εἴη ἄν τι, ἢ αὐτῷ, ἢ αὐτᾶ; Καὶ πῶς; Οὐδ' ἄρα ὄνομά ἐστιν αὐτῷ, ἐδὲ λόγος, ἐδέ τις ἐπισήμη, ἐδὲ αἴσθησις, ἐδὲ δόξα. Οὐ φαίνεται. Οὐδ' ὀνομάζεται ἄρα, ἐδὲ λέγεται, ἐδὲ δοξάζεται, ἐδὲ γιγνώσκεται· ἐδέ τι τῶν ὄντων αὐτᾶ αἰσθάνεται. Οὐκ ἔοικεν. Ἢ δυνατὸν ἕν περὶ τὸ ἓν ταῦτα ἄτως
13 ἔχειν; Οὔκεν ἔμοιγε δοκεῖ. Βέλει ἕν ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐάν τι ἡμῖν ἐπανιᾶσιν ἄλλοῖον φανῇ; Πάνυ μὲν ἕν βέλομαι. Οὐκᾶν, ἓν εἰ ἔστι, φαμὲν, τὰ συμβαίνοντα περὶ αὐτὸ, ποῖά ποτε τυγχάνει ὄντα, διομολογητέα ταῦτα; ἐχ ἄτω; Ναί. Ὅρα δὴ ἐξ ἀρχῆς. ἓν εἰ ἔστιν, ἆρα οἷόν τε αὐτὸ εἶναι μὲν, ἐσίας δὲ μὴ μετέχειν; Οὐχ οἷόν τε. Οὐκᾶν καὶ ἡ ἐσία, τῦ ἑνὸς εἴη ἂν, ἀ ταυτὸν ἅσα τῷ ἑνί. ἀ γὰρ ἂν ἐκείνη ἦν ἐκείνε ἐσία· ἐδ' ἂν ἐκεῖνο τὸ ἓν ἐκείνης μετεῖχεν· ἀλλ' ὅμοιον ἂν ἦν λέγειν ἕν τε εἶναι, καὶ ἓν, ἕν. νῦν δὲ ἐχ ἄυτη ἐστὶν ἡ ὑπόθεσις, εἰ ἕν τι χρὴ συμβαίνειν,

1. Ald. Bas. 1 ἀυτᾶ.

βαίνειν, ἀλλ' εἰ ἔν ἐστιν. ἐχ ἕτω; Πάνυ μὲν οὖν. Οὐκοῦν ὡς ἄλλό τι [2] σημαῖνον τὸ ἔστι τῷ ἕν; Ἀνάγκη. Ἆρ' οὖν ἄλλο ἢ οὗ, τι οὐσίας μετέχει τὸ ἕν, τοῦτ' ἂν εἴη τὸ λεγόμενον, ἐπειδάν τις συλλήβδην εἴπῃ ὅτι ἕν ἐστι; Πάνυ γε. Πάλιν δὴ λέγωμεν, ἓν εἰ ἔστι, τί συμβήσεται. σκόπει ἓν· ἐκ ἀνάγκη ταύτην τὴν ὑπόθεσιν τοιοῦτον ὂν τὸ ἕν σημαίνειν, οἷον μέρη ἔχειν; Πῶς; Ὧδε. Εἰ τὸ ἔστι τοῦ ἑνὸς ὄντος λέγεται, καὶ τὸ ἓν τοῦ ὄντος ἑνός· ἔστι δὲ οὗ τὸ αὐτὸ οὗ τε οὐσία καὶ τὸ ἕν, τοῦ αὐτοῦ δὲ ἐκείνου οὗ ὑπεθέμεθα τοῦ ἑνὸς ὄντος· ἆρα ἐκ ἀνάγκη τὸ μὲν ὅλον, ἓν ὂν εἶναι αὐτοῦ; τοῦτο δὲ γίγνεσθαι μόρια τό, τε ἓν καὶ τὸ εἶναι; Ἀνάγκη. Πότερον οὖν ἑκάτερον τῶν μορίων τούτων, μόριον μόνον προσερῶμεν, ἢ τοῦ ὅλου μόριον τόγε μόριον προσρητέον τοῦ ὅλου; καὶ ὅλον ἄρα ἐστὶν ὃ ἐὰν ἓν ᾖ, καὶ μόριον ἔχῃ. [3] Πάνυ γε. Τί οὖν; τῶν μορίων ἑκάτερον τούτων τοῦ ἑνὸς ὄντος τό, τε ἓν καὶ τὸ ὄν, ἆρα ἀπολείπεσθον, ἢ τὸ ἓν, τοῦ ὄντος εἶναι μόριον, ἢ τὸ ὂν, τοῦ ἑνὸς μόριον; Οὐκ ἂν εἴη. Πάλιν ἄρα καὶ τῶν μορίων ἑκάτερον τό, τε ἓν ἴσχει καὶ τὸ ὄν, καὶ γίγνεται τὸ ἐλάχιστον ἐκ δυοῖν αὖ μορίοιν τὸ μόριον· καὶ κατὰ τὸν αὐτὸν λόγον ἕως ἀεί, ὅ, τιπερ ἂν μόριον γένηται, τοῦτο τῷ μορίῳ ἀεὶ ἴσχει. τό, τε γὰρ ἓν, τὸ ὂν ἀεὶ ἴσχει, καὶ τὸ ὂν τὸ ἕν· ὥστε ἀνάγκη δύ' ἀεὶ γιγνόμενον, μηδέποτε ἓν εἶναι. Παντάπασι μὲν οὖν. Οὐκοῦν ἄπειρον ἂν τὸ πλῆθος ἕτω τὸ ἓν ὂν εἴη; Ἔοικέ γε. Ἴθι δὴ καὶ τῇδε ἔτι. Πῇ; Οὐσίας φαμὲν μετέχειν τὸ ἕν, διό ἐστιν ὄν; Ναί. Καὶ διὰ ταῦτα [4] δὴ τὸ ἓν ὂν πολλὰ ἐφάνη. Οὕτω. Τί δή; αὐτὸ τὸ ἕν, ὃ δὴ φαμὲν οὐσίας

2. Ald. Bas. 1. 2 ἄλλοτι — τῷ ἓν — ὄντι.

3. Ald. Bas. 1. 2 ἔχει.

4. Ald. Bas. 1 διαταῦτα.

ὐσίας μετέχειν, ἐὰν αὐτὸ τῇ διανοίᾳ μόνον καθ' αὑτὸ λάβωμεν, ἄνευ τούτου ἃ φαμὲν μετέχειν, ἆρά γε ἓν μόνον φανήσεται; ἢ καὶ πολλὰ τὸ αὐτὸ τοῦτο; Ἕν, οἶμαι ἔγωγε. Ἴδωμεν δὴ ἄλλό τι.[5] ἕτερον μὲν ἀνάγκη τὴν ὐσίαν αὐτοῦ εἶναι, ἕτερον δὲ αὐτό· εἴπερ μὴ ὐσίας τὸ ἓν, ἀλλὰ ὡς ἑνὸς ὐσίᾳ[6] μετέσχεν. Ἀνάγκη. Οὐκοῦν, εἰ ἕτερον μὲν ἡ ὐσία, ἕτερον δὲ τὸ ἓν, ὅτε τῷ ἓν,[7] τὸ ἓν τῆς ὐσίας ἕτερον, ὅτε τῷ ὐσίαν εἶναι, ἡ ὐσία τοῦ ἑνὸς ἄλλο· ἀλλὰ τῷ ἑτέρῳ τε καὶ ἄλλῳ ἕτερα ἀλλήλων. Πάνυ μὲν οὖν. Ὥσε ὃ ταυτόν ἐστιν ὅτε τῷ ἑνὶ ὅτε τῇ ὐσίᾳ τὸ ἕτερον. Πῶς γάρ; Τί οὖν ἐὰν προελώμεθα αὐτῶν εἴτε βάλει τὴν ὐσίαν καὶ τὸ ἕτερον, εἴτε τὴν ὐσίαν καὶ τὸ ἓν, εἴτε τὸ ἓν καὶ τὸ ἕτερον, ἆρ' ἐκ ἐν ἑκάστῃ τῇ προαιρέσει προαιρόμεθα τινὲ ὧ[8] ὀρθῶς ἔχει καλεῖσθαι ἀμφοτέρω;[9] Πῶς; Ὧδε. ἔστιν ὐσίαν εἰπεῖν; Ἔστι. Καὶ αὖθις εἰπεῖν ἕν; Καὶ τοῦτο. Ἆρ' οὖν ἐκ ἑκάτερον αὐτοῖν εἴρηται; Ναί. Τί δ' ὅταν εἴπω ὐσία τε καὶ ἓν, ἆρα ἐκ ἀμφοτέρω; Πάνυ γε. Οὐκοῦν καὶ ἐὰν ὐσία τε καὶ ἕτερον, ἢ ἕτερόν τε καὶ ἓν, καὶ ἕτω παντα-χῶς ἐφ' ἕκασον ἄμφω λέγω; Ναί. Ὃ δ' ἂν ἄμ-φω ὀρθῶς προσαγορεύησθον, ἆρα οἷόν τε ἄμφω μὲν αὐτὼ εἶναι, δύο δὲ μή; Οὐχ οἷόν τε. Ὃ δ' ἂν δύο ἦτον,[10] ἔστι τις μηχανὴ μὴ ἐχ ἑκάτερον αὐτοῖν ἓν εἶναι; Οὐδεμία. Τούτων ἄρα ἐπείπερ σὺν δύο

5. Ald. Bas. 1. 2 ἄλλοτι.

6. Ald. Bas. 1. 2 ὡς ἓν ὐσίας. Ficinus vertit, *siquidem non essentia ipsum vnum, sed vt vnum, essentia participat.*

7. Bas. 1. 2 τὸ ἓν.

8. Bas. 2 τινὶ ὧ.

9. Bas. 1 ἀμφότερα;

10. Ald. Bas. 1. 2 ὧδ' ἂν δύο ἦττον· quae vitia iam Cornarius in Eclogis monuit ita emendanda esse, vt reponeretur ὃ δ' ἂν δύο ἦτον. Ficinus, *at quae duo sunt.*

δύο [11] ἕκαστα συμβαίνει εἶναι, καὶ ἓν ἂν εἴη ἕκαστον. Φαίνεται. Εἰ δὲ ἓν ἕκαστον αὐτῶν ἐστι, συντεθέντος ἑνὸς ὁποιουῦν ἡτινιῦν συζυγίᾳ, ἃ τρία γίγνεται τὰ πάντα; Ναί. Τρία δὲ, ἃ περιτ]ά; καὶ δύο, ἄρτια; Πῶς δ' ἔ; Τί δέ; δυοῖν ὄντοιν, ἃ ἀνάγκη εἶναι καὶ δίς; καὶ τριῶν ὄντων, τρίς; εἴπερ ὑπάρχει τῷ τε δύο τὸ δὶς ἓν, καὶ τῷ τρία, τὸ τρὶς ἕν; Ἀνάγκη. Δυοῖν δὲ ὄντοιν καὶ δὶς, ἃ ἀνάγκη δύο δὶς εἶναι; καὶ τριῶν καὶ τρὶς, ἃ ἀνάγκη αὖ τρία τρὶς εἶναι; Πῶς δ' ἔ; Τί δέ; τριῶν ὄντων [12] καὶ δὶς ὄντων, καὶ δυοῖν ὄντοιν καὶ τρὶς ὄντοιν, ἃ ἀνάγκη τρία τε δὶς εἶναι καὶ δὶς τρία; Πολλή γε. Ἄρτια τε ἄρα ἀρτιάκις ἂν εἴη, καὶ περιτ]ὰ περιτ]άκις, καὶ ἄρτια περιτ]άκις, [13] καὶ περιτ]ὰ ἀρτιάκις. Ἔσιν ἅτως. Εἰ ἓν ταῦτα ἅτως ἔχει, εἴει τινὰ ἀριθμὸν ὑπολείπεσθαι, ὃν ἃ ἀνάγκη εἶναι; Οὐδαμῶς γε. Εἰ ἄρα ἔσιν ἓν, ἀνάγκη καὶ ἀριθμὸν εἶναι. Ἀνάγκη. Ἀλλὰ μὴν ἀριθμῦ γε ὄντος, πόλ' ἂν εἴη, καὶ πλῆθος ἄπειρον τῶν ὄντων. ἢ ἃ ἄπειρος ἀριθμὸς πλήθει καὶ μετέχων ὐσίας γίγνεται; Καὶ πάνυ γε. Οὐκῦν εἰ πᾶς ἀριθμὸς ὐσίας μετέχει, καὶ τὸ μόριον ἕκαστον τῦ ἀριθμῦ μετέχοι ἂν αὐτῆς; Ναί. Ἐπὶ πάντα [1] ἄρα πολ- 14
λὰ ὄντα ἡ ὐσία νενέμηται, καὶ ὐδενὸς ἀποσατεῖ τῶν ὄντων,

11. Stephanus melius opinabatur coniuncte *σύνδυο* scribi. Ficinus, *quoniam igitur ista simul duo sunt.*

12. Ὄντων abest a Bas. 2. male: quum etiam sequatur δυοῖν ὄντοιν καὶ τρὶς ὄντοιν.

13. In Francof. operae perperam scripserunt πεττάκις.

1. Hic locus, inde a verbis ἐπὶ πάντα vsque ad verba ἔχει ἅτως, laudatur in Eclogis Stobaei Physicis p. 30: sed legitur ibi ὐσία τῶν ὄντων τῦ ἀποσατοίη — κατὰ κεκερμάτισα — καὶ μεμερισὰ πάντων, μάλισα δ' ἔτι — ἔχει ἅτως. Et ἀποσατοίη quidem placet: caetera sunt manifesta librariorum vitia.

ὄντων, ἔτε τῶ σμικροτάτῳ, ἔτε τῶ μεγίστῳ. ἢ τοῦτο μὲν ἄλογον ἔρεσθαι; πῶς γὰρ ἂν δὴ ἰσία γε τῶν ὄντων τε ἀποσατοῖ; Οὐδαμῶς. Κατακεκερμάτισαι ἄρα ὡς οἷόν τε σμικρότατα καὶ μέγιστα καὶ παντα-χῶς ὄντα, καὶ μεμέρισαι πάντων μάλιστα, καὶ ἔστι μέρη ἀπέραντα τῆς ἰσίας. Ἔχει ἅτω. Πλεῖστα ἄρα ἐστὶ τὰ μέρη αὐτῆς. Πλεῖστα μέντοι. Τί ἦν; ἔστι τι αὐτῶν, ὃ ἐστι μὲν μέρος τῆς ἰσίας, ἰδὲν μέν-τοι μέρος; Καὶ πῶς ἂν τοι τοῦτο γένοιτο; Ἀλλ' ἐπείπερ γε, οἶμαι, ἐστὶν, ἀνάγκη αὐτὸ ἀεὶ, ἕως περ ἂν ᾖ, ἓν γέ τι εἶναι· μηδὲν δὲ, ἀδύνατον. Ἀνάγ-κη. Πρὸς ἅπαντι ἄρα ἑκάστῳ τῷ τῆς ἰσίας μέρει πρόσεστι τὸ ἓν, ἐκ ἀπολειπόμενον ἔτε σμικροτέρᾳ ἔτε μείζονος μέρους, ἔτε ἄλλε ἑδενός. Οὕτως. Ἆρα ἓν ἓν ὂν, πολλαχῆ ἅμα ὅλον ἐστί; τοῦτο ἄθρει. Ἀλλ' ἀθρῶ· καὶ ὁρῶ ὅτι ἀδύνατον. Μεμερισμένον ἄρα, εἴπερ μὴ ὅλον· ἄλλως γάρ πε ἑδαμῶς ἅμα ἅπασι τοῖς τῆς ἰσίας μέρεσι παρέσαι, ἢ μεμερι-σμένον. Ναί. Καὶ μὴν τόγε μερισὸν πολλὴ ἀνάγ-κη εἶναι τοσαῦτα ὅσά περ μέρη. Ἀνάγκη. Οὐκ ἄρα ἀληθῆ ἄρτι ἐλέγομεν, λέγοντες ὡς πλεῖστα [2] μέρη

2. Stephanus putabat, ante πλεῖστα videri posse deesse Praepositionem ἀς, vel ἐπὶ, quod paulo ante scriptum esset ἐπὶ πάντα ἄρα πολλὰ ὄντα ἡ ἰσία νενέμηται. At vero aliud est ἡ ἰσία νενέμηται ἐπὶ πάντα· aliud ἡ ἰσία νενεμημένη ἐᾗ πλεῖστα μέρη. Nam hoc quidem in genere, quum totum in partes diuidi dicitur, verbis diuisionem declarantibus additur fere simpliciter, Actiuis quartus Casus, primus Passiuis, ita vt πλεῖστα μέρη Nominatiui sint, non Accusatiui. Quod quum non animaduertissent Grammatici et veteres et recentiores, tentare huiusmodi locos scriptorum veterum temere ausi sunt. vid. ad Politic. 24. Sic ap. Xenoph. Cyrop. 7, 5. 7 recte legitur in libris editis antiquis omnibus, τὸ στράτευμα κατένειμε δώδεκα μέρη· sed Hutchinsonus edere ausus est ἐς δώδε-κα μέρη, temere.

μέρη ἡ οὐσία νενεμημένη εἴη.[3] οὐδὲ γὰρ πλείω τοῦ ἑνὸς νενέμηται, ἀλλ' ἴσα, ὡς ἔοικε, τῷ ἑνί. οὔτε γὰρ τὸ ὂν τοῦ ἑνὸς ἀπολείπεται, οὔτε τὸ ἓν τοῦ ὄντος· ἀλλ' ἐξισοῦσθον δύο ὄντε ἀεὶ παρὰ πάντα. Παντάπασιν οὕτω Φάινεται. Τὸ ἓν ἄρα αὐτὸ κεκερματισμένον ὑπὸ τῆς οὐσίας, πολλά τε καὶ ἄπειρα τὸ πλῆθός ἐστι. Φάινεται. Οὐ μόνον ἄρα τὸ ὂν ἓν πολλά ἐστιν, ἀλλὰ καὶ αὐτὸ τὸ ἓν, ὑπὸ τοῦ ὄντος διανενεμημένον, πολλὰ ἀνάγκη εἶναι. Παντάπασι μὲν οὖν. Καὶ μὴν ὅτι γε ὅλα τὰ μόρια, μόρια, πε- 15
περασμένον ἂν εἴη κατὰ τὸ ὅλον τὸ ἕν. ἢ οὐ περιέχεται ὑπὸ τοῦ ὅλα τὰ μόρια; Ἀνάγκη. Ἀλλὰ μὴν τόγε περιέχον, πέρας ἂν εἴη. Πῶς δ' οὔ; Τὸ ἓν ἄρα ὄν, ἕν τε ἐστὶ πᾶ καὶ πολλὰ, καὶ ὅλον καὶ μόρια, καὶ πεπερασμένον καὶ ἄπειρον πλήθει. Φάινεται. Ἆρ' οὖν ἂν, ἐπείπερ πεπερασμένον, καὶ ἔσχατα ἔχον; Ἀνάγκη. Τί δ' εἰ ὅλον, οὐ καὶ ἀρχὴν ἂν ἔχοι, καὶ μέσον καὶ τελευτήν; ἢ οἷόν τέ τι ὅλον εἶναι ἄνευ τριῶν τούτων; κἂν τοῦ ἓν ὁτιοῦν αὐτῶν ἀποσατῇ, ἐθελήσειέ τι ὅλον εἶναι; Οὐκ ἐθελήσει. Καὶ ἀρχὴν δὴ, ὡς ἔοικε, καὶ τελευτὴν καὶ μέσον ἔχοι ἂν τὸ ἕν. Ἔχοι.[1] Ἀλλὰ μὴν τό γε μέσον, ἴσον τῶν ἐσχάτων ἀπέχει. οὐ γὰρ ἂν ἄλλως μέσον εἴη. Οὐ γάρ. Καὶ σχήματος δή τινος, ὡς ἔοικε, τοιοῦτον ὂν μετέχοι ἂν τὸ ἕν· ἤτοι εὐθέος, ἢ στρογγύλα, ἤ τινος μικτοῦ ἐξ ἀμφοῖν. Μετέχοι γὰρ ἄν. Ἆρ' οὖν ἕν ὅτως ἔχον, ἐκ αὐτό τε ἐν ἑαυτῷ ἔσα καὶ ἐν ἄλλῳ; Πῶς; Τῶν μερῶν πᾶ ἕκασον ἐν τῷ ὅλῳ ἐστὶ, καὶ οὐδὲν ἐκτὸς τοῦ ὅλα. Οὕτω. Πάντα δὲ τὰ μέρη ὑπὸ τοῦ ὅλα περιέχεται; Ναί. Καὶ μὴν τά γε πάντα μέρη τὰ αὐτοῦ τὸ ἕν ἐστι· καὶ ὅτέ τι πλέον, ὅτε ἔλατ]ον, ἢ πάντα. Οὐ γάρ; Οὐκ-

3. Εἴη abeſt a Baſ. 1. male.

1. Ald. Baſ. 1. 2 ἔχοι.

Οὐκοῦν καὶ τὸ ὅλον τὸ ἕν ἐστι; Πῶς δ' οὔ; Εἰ ἄρα πάντα τὰ μέρη ἐν ὅλῳ τυγχάνει ὄντα, ἔστι δὲ τά τε πάντα τὸ ἓν, καὶ αὐτὸ τὸ ὅλον, περιέχεται δὲ ὑπὸ τοῦ ὅλου τὰ πάντα, ὑπὸ τοῦ ἑνὸς ἂν περιέχοιτο τὸ ἕν· καὶ ἅτως ἂν ἤδη τὸ ἓν, αὐτὸ ἐν ἑαυτῷ εἴη. Φαίνεται. Ἀλλὰ μέντοι τόγε ὅλον αὖ οὐκ ἐν τοῖς μέρεσιν ἐστὶν, οὔτε ἐν πᾶσιν, οὔτε ἔν τινι. εἰ γὰρ ἐν πᾶσιν, ἀνάγκη καὶ ἐν ἑνί. ἔν τινι γὰρ ἑνὶ μὴ ὂν, οὐκ ἂν ἔτι πᾳ δύναιτο ἔν γε ἅπασιν εἶναι· εἰ δὲ τοῦτο μὲν τὸ ἓν τῶν ἁπάντων ἐστὶ, τὸ δὲ ὅλον ἐν τούτῳ, μὴ ἑνὶ, πῶς ἔτι ἔν γε τοῖς πᾶσιν ἓν ἔσαι; Οὐδαμῶς. Οὐδὲ μὴν ἔν τισι τῶν μερῶν. εἰ γὰρ ἔν τισι τὸ ὅλον εἴη, τὸ πλέον ἂν ἐν τῷ ἐλάττονι εἴη· ὅ ἐστιν ἀδύνατον. Ἀδύνατον γάρ. Μὴ ὂν δ' ἐν πλείοσι, μηδ' ἐν ἑνὶ, μηδ' ἐν ἅπασι τοῖς μέρεσι τὸ ὅλον, οὐκ ἀνάγκη ἐν ἑτέρῳ τινὶ εἶναι, ἢ μηδαμοῦ ἔτι εἶναι; Ἀνάγκη. Οὐκοῦν μηδαμοῦ μὲν ὂν, οὐδὲν ἂν εἴη; ὅλον δὲ ὄν, ἐπειδὴ οὐκ ἐν αὑτῷ[2] ἐστὶν, ἀνάγκη ἐν ἄλλῳ εἶναι; Πάνυ γε. Ἡ μὲν ἄρα τὸ ἓν, ὅλον ἐν ἄλλῳ ἐστίν· ἡ δὲ τὰ πάντα μέρη ὄντα τυγχάνει, αὐτὸ ἐν ἑαυτῷ. καὶ ἅτω τὸ ἓν ἀνάγκη αὐτό τε ἐν ἑαυτῷ εἶναι καὶ ἐν ἑτέρῳ. Ἀνάγκη. Οὕτω δὴ πεφυκὸς τὸ ἓν ἆρ' οὐκ ἀνάγκη καὶ κινεῖσθαι καὶ ἑστάναι; Πῇ; Ἕστηκε μέν πᾳ, εἴπερ αὐτὸ ἐν ἑαυτῷ ἐστιν. ἐν γὰρ ἑνὶ ὂν, καὶ ἐκ τούτου μὴ μεταβαῖνον, ἐν τῷ αὐτῷ ἂν εἴη, ἐν ἑαυτῷ ὄν. Ἔστι γάρ. Τὸ δέ γε ἐν τῷ αὐτῷ ἀεὶ ὄν, ἑστὼς δήπου ἀνάγκη ἀεὶ εἶναι. Πάνυ γε. Τί δέ; τὸ ἐν ἑτέρῳ ἀεὶ ὄν, ἆ, τὸ ἐναντίον, ἀνάγκη μηδέποτ' ἐν τῷ αὐτῷ εἶναι; μηδέποτε δὲ[3] ὂν ἐν τῷ αὐτῷ, μηδὲ ἑστάναι; μὴ ἑστὼς δὲ, κινεῖσθαι; Οὕτως. Ἀνάγκη ἄρα τὸ ἓν, αὐτό τε ἐν ἑαυτῷ ἀεὶ ὂν καὶ ἐν ἑτέρῳ, ἀεὶ κινεῖσθαί

2. Ald. Baſ. 1. 2 ἐν-τῷ.

3. In Francof. perperam omiſſum eſt δέ.

σθαί τε καὶ ἑσάναι. Φαίνεται. Καὶ μὴν ταυτόν γε δεῖ εἶναι αὐτὸ ἑαυτῷ, καὶ ἕτερον ἑαυτῷ. καὶ τοῖς ἄλλοις ὡσαύτως ταυτόν τε καὶ ἕτερον εἶναι, εἴπερ καὶ τὰ πρόσθεν πέπονθε. Πῶς; Πᾶν πᾶ πρὸς ἅπαν ὧδε ἔχει· ἢ ταυτόν ἐστιν, ἢ ἕτερον· ἤ, ἐὰν μὴ ταυτὸν ᾖ μηδ' ἕτερον, μέρος ἂν εἴη τότε πρὸς ὃ ὅτως ἔχει, ἢ ὡς πρὸς μέρος ὅλον ἂν εἴη. Φαίνεται. Ἆρ' ἓν τὸ ἕν, αὐτὸ αὑτῷ [4] μέρος ἐστίν; Οὐδαμῶς. Οὐδ' ἄρα ὡς πρὸς μέρος, αὐτὸ αὑτῷ ὅλον ἂν εἴη, πρὸς ἑαυτὸ μέρος ὄν. [5] Οὐ γὰρ οἷόν τε. Ἀλλ' ἆρα ἕτερόν ἐστιν ἑνὸς τὸ ἕν; Οὐ δῆτα. Οὐκ ἄρα ἑαυτῷ γε ἕτερον ἂν εἴη. Οὐ μέντοι. Εἰ ἓν μήτε ἕτερον, μήτε ὅλον, μήτε μέρος αὐτὸ πρὸς ἑαυτό ἐστιν, ἆρ οὐκ ἀνάγκη ἤδη ταυτὸν εἶναι αὐτὸ ἑαυτῷ; Ἀνάγκη. Τί δέ; τὸ ἑτέρωθι ὂν αὐτὸ ἑαυτῷ ἐν τῷ αὐτῷ ὄντος ἑαυτῷ, ἆρ οὐκ ἀνάγκη αὐτὸ ἑαυτῷ ἕτερον εἶναι, εἴπερ καὶ ἑτέρωθι ἔσαι; Ἔμοιγε δοκεῖ. Οὕτω μὴν ἐφάνη ἔχον τὸ ἕν, αὐτό τε ἐν ἑαυτῷ ὂν ἅμα καὶ ἐν ἑτέρῳ. Ἐφάνη γάρ. Ἕτερον ἄρα, ὡς ἔοικεν, εἴη ταύτῃ ἂν ἑαυτῷ τὸ ἕν. Ἔοικε. Τί δῆτα; εἰ τοτὶ ἕτερόν ἐστιν, ἆρ οὐχ ἑτέρῳ ὄντος ἕτερον ἔσαι; Ἀνάγκη. Οὐκοῦν ὅσα μὴ ἕν ἐστιν, 16 ἅπανθ' ἕτερα τοῦ ἑνός; καὶ τὸ ἕν, τῶν μὴ ἓν;

Πῶς

4. Ald. Baſ. 1. 2 αὐτῷ, hic et ſequenti verſu.

5. Cornarius in Eclogis legendum cenſebat μέρος μὴ ὄν, *quum ad ſeipſum pars non ſit.* Ficinus ſequutus eſt lectionem alteram. reddidit enim, *Non igitur, quo ad ſeipſum totum erit, quaſi pars ſui ſit.* Eadem monuit Stephanus in Notis, ſed ita, vt lectio μέρος μὴ ὄν e Codice quodam vetere hauſta videri poſſet. nam, *Lectio alia affertur*, inquit, *quae habet negatiuam particulam μὴ ante μέρος, vt ita rēddatur hic locus*, Neque ergo velut ad partem, ipſum ſui ipſius totum fuerit, quum ad ſe ipſum pars non ſit. Quae quidem ſunt ipſa Cornarii verba.

Πῶς δ' ἔ; Ἕτερον ἂν εἴη ἄρα τὸ ἓν τῶν ἄλλων. Ἕτερον. Ὅρα δή· αὐτό τε ταυτὸν καὶ τὸ ἕτερον, ἆρ' οὐκ ἐναντία ἀλλήλοις; Πῶς δ' ἔ; Ἦ ἔν ἐθελήσει ταυτὸν ἐν τῷ ἑτέρῳ, ἢ ἕτερον ἐν ταυτῷ ποτὲ εἶναι; Οὐκ ἐθελήσει. Εἰ ἄρα τὸ ἕτερον ἐν ταυτῷ μηδέποτε ἔσαι, ὐδέν ἐσι τῶν ὄντων ἐν ᾧ ἐσι τὸ ἕτερον χρόνον ὐδένα. εἰ γὰρ ὁντινοῦν εἴη ἔν τῳ, ἐκεῖνον ἂν τὸν χρόνον ἐν ταυτῷ εἴη τὸ ἕτερον. οὐχ ὕτως; Οὕτως. Ἐπειδὴ δ' ὐδέποτε ἐν τῷ αὐτῷ ἐσιν, ὐδέποτε ἓν τινι τῶν ὄντων ἂν εἴη τὸ ἕτερον. Ἀληθῆ. Οὔτ' ἄρα ἐν τοῖς μὴ ἓν, ὅτε ἐν τῷ ἑνὶ εἴη ἂν τὸ ἕτερον. Οὐ γὰρ ἦν. Οὐκ ἄρα τῷ ἑτέρῳ γ' ἂν εἴη τὸ ἓν, τῶν μὴ ἓν, ὐδὲ τὰ μὴ ἓν, τοῦ ἑνὸς ἕτερα. Οὐ γάρ. Οὐδὲ μὴν ἑαυτοῖς γε ἕτερ' ἂν εἴη ἀλλήλων, μὴ μετέχοντα τοῦ ἑτέρου. Πῶς γάρ; Εἰ δὲ μήτε ἑαυτοῖς ἕτερά ἐσι, μήτε τῷ ἑτέρῳ, ὐ πάντη ἂν ἤδη ἐκφύγοι τὸ μὴ ἕτερα εἶναι ἀλλήλων. Ἐκφεύγοι. [1] Ἀλλὰ μὴν ὐδὲ τοῦ ἑνός γε μετέχει τὰ μὴ ἕν. ὐ γὰρ ἂν μὴ ἓν ἦν, ἀλλά πη [2] ἂν ἓν ἦν. Ἀληθῆ. Οὐδ' ἂν ἀριθμὸς εἴη ἄρα τὰ μὴ ἕν. ὐδὲ γὰρ ἂν ὅτω μὴ ἓν ἦν παντάπασιν, ἀριθμόν γε ἔχοντα. Οὐ γὰρ ἦν. Τί δέ; τὰ μὴ ἓν, τοῦ ἑνὸς ἆρα μόριά ἐσιν; ἢ κἂν ὅτω μετεῖχε τοῦ ἑνὸς τὰ μὴ ἕν; Μετεῖχεν. Εἰ ἄρα παντὶ τὸ μὲν, ἕν ἐσι, τὰ δὲ, μὴ ἓν, ὅτ' ἂν μόριον τῶν μὴ ἓν τὸ ἓν εἴη, ὅτε ὅλον ὡς μόριον· ὅτε αὖ τὰ μὴ ἓν τοῦ ἑνὸς μόρια,

1. Stephano ante hoc verbum deesse videbatur negatio, ita vt si hic legeretur οὐκ ἐκφεύγοι, etiam paulo ante ἐκφεύγοι reponeretur pro ἐκφύγοι, aut etiam hic ἐκφύγοι rescriberetur. Coniectura ipsa sumta est e Versione Ficini Latina. haec enim habet, *Atqui si nec seipsis, nec ipso altero altera sunt, altera esse invicem nullo pacto possunt. Nullo.*

2. Ald. Bas. 1. 2 πῆ.

ρια, ἤτε ὅλα ὡς μορίῳ τῷ ἑνί. Οὐ γάρ. Ἀλλὰ μὴν ἔφαμεν, τὰ μήτε μόρια, μήτε ὅλα, μήτε ἕτερα ἀλλήλων, τὰ αὐτὰ ἔσεσθαι ἀλλήλοις. Ἔφαμεν γάρ. Φῶμεν ἄρα καὶ τὸ ἓν πρὸς τὰ μὴ ἓν ἧττος ἔχον, τὸ αὐτὸ εἶναι αὐτοῖς; Φῶμεν. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, ἕτερόν τε τῶν ἄλλων ἐστὶ καὶ ἑαυτῷ, καὶ ταὐτὸν ἐκείνοις τε καὶ ἑαυτῷ. Κινδυνεύει φαίνεσθαι, ἔκ γε τῶ λόγε. Ἆρ' ἓν καὶ ὅμοιόν τε καὶ ἀνόμοιον ἑαυτῷ τε καὶ τοῖς ἄλλοις; Ἴσως. Ἐπειδὴ γᾶν ἕτερον τῶν ἄλλων ἐφάνη, καὶ τἆλλά πε ἕτερ' ἂν ἐκείνε εἴη. Τί μήν; Οὐκᾶν ἕτερον [3] τῶν ἄλλων, ὥσπερ καὶ τἆλλα ἐκείνε; καὶ ἄτε μᾶλλον ἄτε ἧττον; Τί γάρ; Εἰ ἄρα μήτε μᾶλλον μήτε ἧττον, ὁμοίως. Ναί. Οὐκᾶν ἢ ἕτερον εἶναι πέπονθε τῶν ἄλλων, καὶ τἆλλα ἐκείνε ὡσαύτως, ταύτῃ ταυτὸν ἂν πεπονθότα εἶεν· καὶ τό τε ἓν τοῖς ἄλλοις, καὶ τἆλλα τῷ ἑνί. Πῶς λέγεις; Ὧδε. ἕκασον τῶν ὀνομάτων ἐκ ἐπί τινι καλεῖς; Ἔγωγε. Τί ἦν; τὸ αὐτὸ ὄνομα εἴποις ἂν πλεονάκις, ἢ ἅπαξ; Ἔγωγε. Πότερον ἦν, ἐὰν μὲν ἅπαξ εἴπῃς, ἐκεῖνο προσαγορεύεις ἔπερ ἐστὶ τὄνομα; ἐὰν δὲ πολλάκις, ἐκ ἐκεῖνο; ἢ, ἐάν τε ἅπαξ ἐάν τε πολλάκις τὸ αὐτὸ ὄνομα φθέγξῃ, πολλὴ ἀνάγκη σὲ τὸ αὐτὸ καὶ λέγειν ἀεί; Τί μήν; Οὐκᾶν καὶ τὸ ἕτερον ὄνομά ἐστιν ἐπί τινι; Πάνυ γε. Ὅταν ἄρα αὐτὸ φθέγγῃ, ἐάν τε ἅπαξ ἐάν τε πολλάκις, ἐκ ἐπ' ἄλλῳ ἢδὲ ἄλλό τι ὀνομάζεις ἢ ἐκεῖνο ἔπερ ἦν ὄνομα. Ἀνάγκη. Ὅταν δὴ λέγωμεν ὅτι ἕτερον μὲν τἆλλα τᾶ ἑνὸς, ἕτερον δὲ τὸ ἓν τῶν ἄλλων, διὰ τὸ ἕτερον

3. Marg. Steph. γρ^αι Οὐκᾶν ἄτως ἕτερον. Scilicet haec Baſ. 2 lectio eſt, quae fuit etiam in libris Ficini. Verſio enim eius Latina habet, *Annon ita ab aliis alterum* —.

4. Ald. Baſ. 1 αἴ.

εἰπόντες, ἐδέν τι μᾶλλον ἐπ' ἄλλῃ ἀλλ' ἐπ' ἐκείνῃ τῇ φύσει αὐτὸ ἀεὶ λέγομεν ἥσπερ ἦν τύνομα. Πάνυ μὲν ἕν. Εἰ [5] ἄρα ἕτερον τῶν ἄλλων τὸ ἕν, καὶ τἄλλα τῆ ἑνὸς, κατὰ ταυτὸ ἕτερον πεπονθέναι, ἐκ ἄλλο, ἀλλὰ τὸ αὐτὸ ἂν πεπονθὸς εἴη τὸ ἐν τοῖς ἄλλοις. τὸ δέ πε ταυτὸν πεπονθὸς, ὅμοιον. ἐχί; Ναί. Ἧι δὴ τὸ ἕν ἕτερον τῶν ἄλλων πέπονθεν εἶναι, κατ' αὐτὸ τῆτο ἅπαν ἅπασιν ὅμοιον ἂν εἴη. 17 ἅπαν γὰρ ἁπάντων ἕτερόν ἐςιν. Ἔοικεν. Ἀλλ' ἦν τόγε ὅμοιον τῷ ἀνομοίῳ [1] ἐναντίον; Ναί. Οὐκᾶν καὶ τὸ ἕτερον τῷ ταυτῷ αὐτῷ; Καὶ τῆτο. Ἀλλὰ μὴν καὶ τῆτό γ' ἐφάνη, ὡς ἄρα τὸ ἕν [2] τοῖς ἄλλοις ταυτόν τε καὶ ἕτερον. Ἐφάνη γάρ. Τἐναντίον δέ γε πάθος ἐςὶ τὸ εἶναι τὸ αὐτὸ [3] τοῖς ἄλλοις, τῷ ἕτε-

5. Ald. Baſ. 1. 2 ἦ. Cornarius in Eclogis totum hunc locum ita conſtituendum cenſet, ἦ ἄρα ἕτερον τῶν ἄλλων τὸ ἕν, καὶ τἄλλα τῆ ἑνὸς κατὰ ταὐτὸ ἕτερον, πέπονθεν ἂν ἐκ ἄλλο, ἀλλὰ τὸ αὐτὸ πεπονθὸς ἂν εἴη, τὸ ἕν τοῖς ἄλλοις. Lectionem ἢ ἄρα petiit Stephanus e Verſione Ficini Latina, in qua eſt, *Si igitur vnum alterum eſt ab iis* —. Sed coniecturas Cornarii ita laudat, more ſuo, in Notis, vt videantur eſſe lectiones librorum veterum. Nam, *Sed inueni*, inquit, *et tertiam, quam antea ex coniectura duntaxat habebam*, ἦ ἄρα, *vt ita exponatur hic locus*, Quatenus igitur vnum alterum eſt ab aliis [Cornarius melius vertit, *Quatenus igitur vnum* aliud *eſt ab aliis*]. *Verum et pro* πεπονθέναι *annotatum inueni* πέπονθεν· *item* ἓν *ante* τοῖς ἄλλοις, *pro* ἐν. *Sic autem et paulo poſt praeced. editiones habent* τὸ ἓν τοῖς ἄλλοις, *vbi noſtra* τὸ ἕν τοῖς ἄλλοις. *Verum hoc quidem in loco Ficinus quoque* ἓν *legit, at in illo praepoſitionem* ἐν. *Ego tamen non minus illic, quam hic, ſcribendum* ἓν *exiſtimo.*

1. Ald. Baſ. 1 τῶν ἀνομοίων. Ficinus, *Eſtne ſimile* diſſimilibus *contrarium?*

2. Ald. Baſ. 1 τὸ ἐν· ſed marg. Baſ. 1 τὸ ἕν. vt legit Ficinus, legique iuſſit in Eclogis Cornarius. At iam Baſ. 2 τὸ ἕν.

3. Baſ. 2 τὸ ἓν αὐτό.

ἕτερον εἶναι τῶν ἄλλων. Πάνυ γε. Ἦι γε μὴν ἕτερον, ὅμοιον ἐφάνη. Ναί. Ἦι ἄρα ταυτὸν, ἀνόμοιον ἔσαι, κατὰ τἐναντίον πάθος τῷ ὁμοιῶντι πάθει. ὡμοίᾳ [4] δέ πᾳ τὸ ἕτερον; Ναί. Ἀνομοιώσει ἄρα τὸ ταυτόν· ἢ ἐκ ἐναντίον ἔσαι τῷ ἑτέρῳ. Ἔοικεν. Ὅμοιον ἄρα καὶ ἀνόμοιον ἔσαι τὸ ἓν τοῖς ἄλλοις· ἢ μὲν ἕτερον, ὅμοιον· ἢ δὲ ταυτὸν, ἀνόμοιον. Ἔχει γὰρ ἦν δὴ, ὡς ἔοικε, καὶ τοιῶτον λόγον. Καὶ γὰρ τόνδε ἔχει. Τίνα; Ἦι ταυτὸν πέπονθε, μὴ ἀλλοῖον πεπονθέναι· μὴ ἀλλοῖον δὲ πεπονθὸς, μὴ ἀνόμοιον· μὴ ἀνόμοιον δὲ, ὅμοιον εἶναι. ᾗ δ' ἄλλο πέπονθεν, ἀλλοῖον· ἀλλοῖον δὲ ὂν, ἀνόμοιον εἶναι. Ἀληθῆ λέγεις. Ταυτόν τε ἄρα ὂν τὸ ἓν τοῖς ἄλλοις, καὶ ὅτι ἕτερόν ἐσι, κατ' ἀμφότερα καὶ καθ' ἑκάτερον, ὅμοιόν τε ἂν εἴη καὶ ἀνόμοιον τοῖς ἄλλοις. Πάνυ γε. Οὐκοῦν καὶ ἑαυτῷ ὡσαύτως, ἐπείπερ ἕτερόν τε ἑαυτοῦ καὶ ταυτὸν ἑαυτῷ ἐφάνη, κατ' ἀμφότερα καὶ κατὰ ἑκάτερον ὅμοιόν τε καὶ ἀνόμοιον φανήσεται; Ἀνάγκη. Τὸ [5] δὲ δὴ περὶ τοῦ ἅπτεσθαι τὸ ἓν αὑτοῦ [6] καὶ τῶν ἄλλων, καὶ τὸ μὴ ἅπτεσθαι πέρι, πῶς ἔχει, σκόπει. Σκοπῶ. Αὐτὸ γάρ πᾳ ἐν ἑαυτῷ ἔλῳ τὸ ἓν ἐφάνη ὄν. Ὀρθῶς. Οὐκοῦν καὶ ἐν τοῖς ἄλλοις τὸ ἕν; Ναί. Ἦι μὲν ἄρα ἐν τοῖς ἄλλοις, τῶν ἄλλων ἅπτοιτο ἄν· ᾗ δὲ αὐτὸ ἐν ἑαυτῷ, τῶν μὲν ἄλλων ἀπείργοιτο ἅπτεσθαι, αὐτὸ δὲ αὑτοῦ ἅπτοιτο ἂν, ἐν ἑαυτῷ ὄν. Φαίνεται. Οὕτω μὲν δὴ ἅπτοιτο ἂν τὸ ἓν αὑτοῦ [7] τε καὶ τῶν ἄλλων. Ἅπτοιτο. Τί δὲ τῇδε; ἆρ' ἃ πᾶν τὸ μέλλον ἅψεσθαι τινὸς, ἐφεξῆς δεῖ κεῖσθαι ἐκείνῳ ἃ μέλλει ἅπτεσθαι, ταύτην τὴν ἕδραν κατέχον ᾗ ἂν

4. Ald. Bas. 1. 2 ὁμοίᾳ· quod in ὡμοίᾳ mutari iussit Cornarius in Eclogis.

5. Ald. Bas. 1. 2 τί.

6. Ald. Bas. 1. 2 ἀντοῦ.

7. Ald. Bas. 1. 2 ἀντοῦ, hic et vbique.

μετ' [8] ἐκείνην ἢ ἕδρα ἢ ἂν κέηται ἅπτεται; Ἀνάγκη. Καὶ τὸ ἓν ἄρα, εἰ μέλλει αὐτὸ αὑτῷ ἅπτεσθαι, ἐφεξῆς δεῖ εὐθὺς μετὰ ἑαυτὸ κεῖσθαι, τὴν ἐχομένην χώραν κατέχον ἐκείνης ἐν ἣ αὐτό ἐστι. Δεῖ γὰρ ἕν. Οὐκοῦν δύο μὲν ὂν τὸ ἕν, ποιήσειεν ἂν ταῦτα, καὶ ἐν δυοῖν χώραιν ἅμα γένοιτο; ἕως δ' ἂν ᾖ ἕν, οὐκ ἐθελήσει; Οὐ γὰρ ἕν. Ἡ αὐτὴ ἄρα ἀνάγκη τῷ ἑνὶ, [9] μήτε δύο εἶναι, μήτε ἅπτεσθαι αὐτὸ αὑτῷ. Ἡ αὐτή. Ἀλλ' ἐδὲ μὴν τῶν ἄλλων ἅψεται. Τί δή; Ὅτι φαμὲν τὸ μέλλον ἅψεσθαι, χωρὶς ὂν, ἐφεξῆς δεῖν [10] ἐκείνῳ εἶναι ᾧ μέλλει ἅπτεσθαι· τρίτον δὲ αὐτῶν ἐν μέσῳ μηδὲν εἶναι. Ἀληθῆ. Δύο ἄρα δεῖ, τὸ ὀλίγιστον εἶναι, εἰ μέλλει ἅψις εἶναι. Δεῖ. Ἐὰν δὲ τοῖν [11] δυοῖν ἕροιν τρίτον προσγένηται ἐξῆς, αὐτὰ μὲν, τρία ἔσαι· αἱ δὲ ἅψεις, δύο. Ναί. Καὶ ἕτω δὴ ἀεὶ ἑνὸς, προσγιγνομένου, μία ἅψις προσγίγνεται, καὶ συμβαίνει τὰς ἅψεις τῷ πλήθει τῶν ἀριθμῶν μιᾷ ἐλάττους εἶναι. ᾧ γὰρ τὰ πρῶτα δύο ἐπλεονέκτησε τῶν ἅψεων, εἰς τὸ πλείω εἶναι τὸν ἀριθμὸν ἢ τὰς ἅψεις, τῷ ἴσῳ τούτῳ καὶ ὁ ἔπειτα ἀριθμὸς πᾶς πασῶν τῶν ἅψεων πλεονεκτεῖ. ἤδη γὰρ τολοιπὸν ἅμα ἕν τε [12] τῷ ἀριθμῷ προσγίνεται καὶ μία ἅψις ταῖς ἅψεσιν. Ὀρθῶς. Ὅσα ἄρα ἐστὶ τὰ ὄντα τὸν ἀριθμὸν, ἀεὶ μιᾷ αἱ ἅψεις ἐλάττους

8. Ald. Baſ. 1 κατ'.
9. Ἑνὶ abeſt a Baſ. 1. 2.
10. Ald. Baſ. 1 δεῖ.
11. Τοῖν abeſt a Baſ. 2.
12. Marg. Stephan. *Pro* ἕν τε *in praec. edit. perperam ſcriptum eſt* ἅτε, *item* προγίνεται *pro* προσγίνεται. *Atque hoc agnoſcit et Ficinus, ſicut et illud* ἕν τε. recte. Aldus edidit ἕτε· ſed iam in marg. Baſ. 1 notatum eſt ἔντε· quod Hopperus in Baſ. 2 recepit. Sed προγίνεται ex Aldino libro venit in Baſileenſem vtrumque. Ficinus autem, quem Stephanus ſequutus eſt, legit recte προσγίνεται. vertit enim, *Etenim in poſterum vnum ſimul additur numero.*

τας εἰσὶν αὐτῶν. Ἀληθῆ. Εἰ δέ γε ἓν μόνον ἐστὶ, δυὰς δὲ μὴ ἔστιν, ἄψις οὐκ ἂν εἴη. Πῶς γάρ; Οὐκοῦν φαμὲν, τὰ ἄλλα τοῦ ἑνὸς, ὅτε ἔν ἐστιν, ὅτε μετέχει αὐτοῦ, εἴπερ ἄλλα ἐστίν. Οὐ γάρ. Οὐκ ἄρα ἔν ἐστιν ἀριθμὸς ἐν τοῖς ἄλλοις, ἑνὸς μὴ ὄντος ἐν αὐτοῖς. Πῶς γάρ; Οὔτ' ἄρα ἔν ἐστι τὰ ἄλλα, ὅτε δύο, ὅτε ἄλλα ἀριθμοῦ ἔχοντα ὄνομα ὐδέν. Οὔ. Τὸ ἓν ἄρα μόνον ἐστὶν ἕν, καὶ δυὰς οὐκ ἂν εἴη. Οὐ φαίνεται. Ἄψις ἄρα οὐκ ἔστι, δυοῖν μὴ ὄντοιν. Οὐκ ἔστιν. Οὔτ' ἄρα τὸ ἓν τῶν ἄλλων ἅπτεται, ὅτε τἄλλα τοῦ ἑνός· ἐπείπερ ἄψις οὐκ ἔστιν. Οὐ γὰρ ἕν. Οὕτω δὴ κατὰ πάντα ταῦτα τὸ ἓν τῶν ἄλλων καὶ ἑαυτοῦ ἅπτεταί τε καὶ οὐχ ἅπτεται. Ἔοικεν. Ἆρ' ἕν καὶ ἴσον ἐστὶ καὶ ἄνισον αὑτῷ[1] τε καὶ τοῖς ἄλλοις; Πῶς; Εἰ μεῖζον εἴη τὸ ἓν ἢ τἄλλα, ἢ ἔλαττον, ἢ αὖ τἄλλα τοῦ ἑνὸς μείζω ἢ ἐλάττω, ἆρα οὐκ ἂν τῷ μὲν ἓν εἶναι τὸ ἕν, καὶ τἄλλα, ἄλλα τοῦ ἑνὸς, ὅτέ τι μείζω ὅτέ τι ἐλάττω ἂν εἴη ἀλλήλων αὐταῖς γε ταύταις ταῖς οὐσίαις; ἀλλ' εἰ μὲν πρὸς τῷ τοιοῦτα εἶναι ἑκάτερα ἰσότητα ἔχοιεν, ἴσα ἂν εἴη πρὸς ἄλληλα; εἰ δὲ τὰ μὲν, μέγεθος, τὰ δὲ, σμικρότητα, ἢ καὶ μέγεθος μὲν τὸ ἓν, σμικρότητα δὲ τἄλλα, ὁποτέρῳ μὲν τῷ εἴδει μέγεθος προσείη, μεῖζον ἂν εἴη, ᾧ δὲ σμικρότης, ἔλαττον; Ἀνάγκη. Οὐκοῦν ἐσόν γε[2] τινὲ τέτω εἴδη τό, τε μέγεθος καὶ ἡ σμικρότης; ἃ γὰρ ἂν πᾳ, μὴ ὄντε γε, ἐναντίω τε ἀλλήλοιν ἦτην, καὶ ἐν τοῖς ὄσιν ἐγγιγνοίσθην. Πῶς γὰρ ἄν; Εἰ ἄρα ἐν τῷ ἑνὶ σμικρότης ἐγγίγνεται, ἤτοι ἐν ὅλῳ ἂν ἢ ἐν μέρει αὐτοῦ ἐνείη. Ἀνάγκη. Τί δ' εἰ ἐν ὅλῳ ἐγγίγνοιτο, ἐχὶ ἢ ἐξ ἴσα ἂν τῷ ἑνὶ δι' ὅλα αὐτοῦ τεταμένη εἴη, ἢ περιέχουσα αὐτό; Δῆλον δή. Ἆρ' οὐκ ἐξ ἴσα μὲν ἅσα ἡ σμικρότης

18

1. Ald. Bas. 1. 2 αὐτῷ. 2. Ald. Bas. 1 τέ.

τῷ ἑνὶ, ἴση ἂν αὐτῷ εἴη; περιέχεσα δὲ, μείζων; Πῶς δ' ἄ; Δυνατὸν ἓν σμικρότητα ἴσην τῳ εἶναι, ἢ μείζω τινός; καὶ πράττειν γε [3] τὰ μεγέθης τε καὶ ἰσότητος, ἀλλὰ μὴ τὰ ἑαυτῆς; Ἀδύνατον. Ἐν μὲν ὅλῳ ἄρα τῷ ἑνὶ ἂκ ἂν εἴη σμικρότης· ἀλλ' εἴπερ, ἐν μέρει. Ναί. Οὔτι γε ἐν παντὶ αὖ τῷ μέρει. εἰ δὲ μὴ, ταυτὰ [4] ποιήσει ἅπερ πρὸς τὸ ὅλον ἴση ἔσαι, [5] ἢ μείζων τᾶ μέρες ἐν ᾧ ἂν ἀεὶ ἐνῇ. Ἀνάγκη. Οὐδενί ποτε ἄρα ἐνέσαι τῶν ὄντων σμικρότης, μήτ' ἐν μέρει μήτ' ἐν ὅλῳ ἐγγιγνομένη· ἀδέ τι ἔσαι σμικρὸν πλὴν αὐτῆς τῆς σμικρότητος. Οὐκ ἔοικεν. Οὐδ' ἄρα μέγεθος ἐνέσαι ἐν αὐτῷ. μεῖζον γὰρ ἄν τι εἴη ἄλλο, καὶ πλὴν αὐτᾶ μεγέθης, ἐκεῖνο ἐν ᾧ τὸ μέγεθος ἐνείη· καὶ ταῦτα, σμικρᾷ αὐτᾶ ἐκ ὄντος· ἃ ἀνάγκη ὑπερέχειν ἐάνπερ ἢ μέγα. τᾶτο δὲ ἀδύνατον, ἐπειδὴ σμικρότης ἀδαμᾶ ἔνι. Ἀληθῆ. Ἀλλὰ μὴν αὐτὸ μέγεθος, ἐκ ἄλλε μεῖζον ἢ αὐτῆς σμικρότητος· ἀδὲ σμικρότης ἄλλε ἔλατ]ον ἢ αὐτᾷ μεγέθης. Οὐ γάρ. Οὔτε ἄρα τἄλλα μείζω τᾶ ἑνὸς, ἀδὲ ἐλάττω, μήτε μέγεθος μήτε σμικρότητα ἔχοντα. ἅτε αὐτῳ τάτω πρὸς τὸ ἓν ἔχετον τὴν δύναμιν τὴν τᾶ ὑπερέχειν τε καὶ ὑπερέχεσθαι, ἀλλὰ πρὸς ἀλλήλω. ἅτε αὖ τὸ ἓν τάτοιν ἀδὲ τῶν ἄλλων μεῖζον ἂν ἀδ' ἔλατ]ον εἴη, μήτε μέγεθος μήτε σμικρότητα ἔχον. Οὐκᾶν [6] φαίνεταί γε. Ἆρ' ἕν, εἰ μήτε μεῖζον μήτε ἔλατ]ον τὸ ἓν τῶν

3. Ald. Baſ. 1. 2 τε.

4. Ald. Baſ. 1. 2 ταῦτα. At Ficinus, *eadem.*

5. Marg. Steph. *Poſt* ὅλον *Ficinus* τελείαν ſigmὴν *collocaſſe, et* ἴση γὰρ ἔσαι *legiſſe, videtur.* Verſio ſcilicet eius Latina habet, *quae et aduerſus totum effecerat. quippe vel aequalis erit* —.

6. Stephanus malebat οὔκουν, quod Plato alibi quoque ita loqueretur. recte. Ficinus tamen habet, *Sic vtique apparet.*

τῶν ἄλλων, ἀνάγκη αὐτὸ ἐκείνων μήτε ὑπερέχειν μήτε ὑπερέχεσθαι; Ἀνάγκη. Οὐκοῦν τόγε μήτε ὑπερέχον μήτε ὑπερεχόμενον, πολλὴ ἀνάγκη ἐξ ἴσα[7] εἶναι· ἐξ ἴσα δὲ ὄν, ἴσον εἶναι. Πῶς γὰρ ἄ; Καὶ μὴν καὶ αὐτό γε τὸ ἓν πρὸς ἑαυτὸ ἅττως ἂν ἔχοι· μήτε μέγεθος ἐν ἑαυτῷ μήτε σμικρότητα ἔχον, ἅτ' ἂν ὑπερέχοιτο ἅτ' ἄν ὑπερέχοι ἑαυτοῦ· ἀλλ' ἐξ ἴσα ὄν, ἴσον ἀεὶ εἴη ἑαυτῷ. Πάνυ μὲν οὖν. Τὸ ἓν ἄρα ἑαυτῷ τε καὶ τοῖς ἄλλοις ἴσον ἂν εἴη. Φαίνεται. Καὶ μὴν αὐτό γε ἐν ἑαυτῷ ὂν, καὶ περὶ ἑαυτὸ ἂν εἴη ἔξωθεν· καὶ περιέχον μέν, μεῖζον ἂν ἑαυτοῦ εἴη· περιεχόμενον δὲ, ἔλαττον. καὶ ἅτω μεῖζον ἂν καὶ ἔλαττον εἴη αὐτὸ ἑαυτοῦ τὸ ἕν. Εἴη γὰρ ἄν. Οὐκοῦν καὶ τὸ ἀνάγκη, μηδὲν εἶναι ἐκτὸς τοῦ ἑνός τε καὶ τῶν ἄλλων; Πῶς γὰρ ἄ; Ἀλλὰ μὴν καὶ εἶναί πᾳ δεῖ τόγε ὂν ἀεί. Ναί. Οὐκοῦν τόγε ἔν τῳ ὄν, ἐν μείζονι ἔσαι, ἔλαττον ὄν; ᾗ γὰρ ἂν ἄλλως ἕτερον ἐν ἑτέρῳ εἴη. Οὐ γάρ. Ἐπειδὴ δὲ ᾗδὲν ἕτερόν ἐστι χωρὶς τῶν ἄλλων καὶ τοῦ ἑνὸς, δεῖ δὲ αὐτὰ ἓν τῳ εἶναι,[8] ᾗκ ἀνάγκη ἤδη ἐν ἀλλήλοις εἶναι, τά τε ἄλλα ἐν τῷ ἑνὶ, καὶ τὸ ἓν ἐν τοῖς ἄλλοις; ἢ μηδαμοῦ εἶναι; Φαίνεται. Ὅτι μὲν ἄρα τὸ ἓν ἐν τοῖς ἄλλοις ἔνεστι, μείζω ἂν εἴη τἆλλα τοῦ ἑνὸς, περιέχοντα αὐτό· τὸ δὲ ἓν, ἔλαττον τῶν ἄλλων, περιεχόμενον. ὅτι δὲ τἆλλα ἐν τῷ ἑνὶ, τὸ ἓν τῶν ἄλλων κατὰ τὸν αὐτὸν λόγον μεῖζον ἂν εἴη· τὰ δὲ ἄλλα τοῦ ἑνὸς, ἐλάττω. Ἔοικε. Τὸ ἓν ἄρα ἴσον τε καὶ μεῖζον καὶ ἔλαττόν ἐστιν αὐτό τε αὑτοῦ[9] καὶ τῶν ἄλλων. Φαίνεται. Καὶ μὴν, εἴπερ μεῖζον, καὶ ἴσον, καὶ ἔλαττον,[10] ἴσων ἂν εἴη μέτρων καὶ

7. Ald. Bas. 1. 2 ἐξίσα· vbique.

8. Ald. Bas. 1. 2 ἐν τῷ, εἶναι· male.

9. Ald. Bas. 1. 2 αὐτοῦ, hic et vbique hoc in Dialogo.

10. Ald. Bas. 1. 2 καὶ ἔλατ-

πλειόνων καὶ ἐλαττόνων αὐτῷ καὶ τοῖς ἄλλοις· ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν. Πῶς δ' ἔ; Ἴσων ἄρα μέτρων ὂν, καὶ πλειόνων καὶ ἐλαττόνων, καὶ ἀριθμῷ ἔλαττον ἂν καὶ πλέον εἴη αὐτό τε αὑτῆ καὶ τῶν ἄλλων, καὶ ἴσον αὐτῷ τε καὶ τοῖς ἄλλοις κατὰ ταυτά. Πῶς; Ὥνπερ μεῖζόν ἐστι, πλειόνων πᾳ καὶ μέτρων ἂν εἴη αὐτῶν· ὅσων δὲ μέτρων, καὶ μερῶν. καὶ ὥνπερ ἔλαττον, ὡσαύτως· καὶ οἷς ἴσον, κατὰ ταυτά. Οὕτως. Οὐκοῦν ἑαυτῆ μεῖζον καὶ ἔλαττον ὂν, καὶ ἴσον, ἴσων ἂν εἴη μέτρων, καὶ πλειόνων καὶ ἐλαττόνων αὐτῷ; " ἐπειδὴ δὲ μέτρων, καὶ μερῶν; Πῶς δ' ἔ; Ἴσων μὲν ἄρα μερῶν ἔν αὐτῷ, ἴσον ἂν τὸ πλῆθος αὐτῷ εἴη· πλειόνων δὲ, πλέον· ἐλαττόνων δὲ, ἔλαττον τὸν ἀριθμὸν αὑτῆ. Φαίνεται. Οὐκοῦν καὶ πρὸς τἆλλα ὡσαύτως ἕξει τὸ ἕν; ὅτι μὲν μεῖζον αὐτῶν Φαίνεται, ἀνάγκη πλέον εἶναι καὶ τὸν ἀριθμὸν αὐτῶν; ὅτι δὲ σμικρότερον, ἔλαττον; ὅτι δὲ ἴσον μεγέθει, ἴσον καὶ τὸ πλῆθος εἶναι τοῖς ἄλλοις; Ἀνάγκη. Οὕτω δὴ αὖ, ὡς ἔοικε, τὸ ἓν, καὶ ἴσον, καὶ πλέον καὶ ἔλαττον τὸν ἀριθμὸν αὐτό τε αὑτῆ ἔσαι καὶ τῶν
19 ἄλλων. Ἔσαι. Ἆρ' ἂν καὶ χρόνῳ μετέχει τὸ ἕν; καὶ ἐστί τε καὶ γίγνεται νεώτερόν τε καὶ πρεσβύτερον αὐτό τε αὑτῆ καὶ τῶν ἄλλων; καὶ ἔστε νεώτερον ἔστε πρεσβύτερον ἔστε ἑαυτῆ ἔστε τῶν ἄλλων, χρόνου μετέχον; Πῶς; Εἶναι μέν πᾳ αὐτῷ ὑπάρχει, εἴπερ ἓν ἐστι. Ναί. Τὸ δὲ εἶναι ἄλλό τι ἐστὶν ἢ μέθεξις οὐσίας μετὰ χρόνου τῆ παρόντος; ὥσπερ τὸ ἦν, μετὰ

ἔλαττον καὶ ἴσον. At Ficinus habet, *Atqui si maius et minus et aequale:* quo praeeunte apparet Stephanum verba Platonis in ordinem redegisse suum.

11. Ald. Baf. 1. 2 αὐτῷ, hic et vbique hoc in Dialogo.

1. Ald. Baf. 1. 2 αὐτό. Sed in marg. Baf. 1 eſt αὐτῷ.

μετὰ τῦ παρεληλυθότος, καὶ αὖ τὸ ἔσαι μετὰ τῦ μέλλοντος, ἐσίας ἐσὶ κοινωνία;[2] Ἔσι γάρ. Μετέχειν μὲν ἄρα ἔσι χρόνυ, εἴπερ καὶ τῦ εἶναι. Πάνυ γε. Οὐκῦν πορευομένυ τῦ χρόνυ; Ναί. Ἀεὶ ἄρα πρεσβύτερον γίγνεταί ἑαυτῦ, εἴπερ προέρχεται κατὰ χρόνον. Ἀνάγκη. Ἆρ' ἴν μεμνήμεθα, ὅτι νεωτέρυ γιγνομένυ τὸ πρεσβύτερον πρεσβύτερον γίγνεται; Μεμνήμεθα. Οὐκῦν, ἐπειδὴ πρεσβύτερον ἑαυτῦ γίγνεται τὸ ἓν, νεωτέρυ ἂν γιγνομένυ ἑαυτῦ πρεσβύτερον γίγνοιτο; Ἀνάγκη. Γίγνεται μὲν δὴ νεώτερόν τε καὶ πρεσβύτερον αὐτῦ ἄτω. Ναί. Ἔσι δὲ πρεσβύτερον ἆρ' ἐχ ὅταν κατὰ τὸν νῦν χρόνον ᾖ γιγνόμενον, τὸν μεταξὺ τῦ ἦν τε καὶ ἔσαι; ἐ γάρ πυ πορευόμενόν γε ἐκ τῦ ποτὲ εἰς τὸ ἔπειτα ὑπερβήσεται τὸ νῦν. Οὐ γάρ. Ἆρ' ἴν ἐκ ἐπίσχει τότε τῦ γίγνεσθαι πρεσβύτερον, ἐπειδὰν τῷ νῦν ἐντύχῃ; καὶ ἐ γίγνεται, ἀλλ' ἔσι τότ' ἤδη πρεσβύτερον; προϊὸν γὰρ ἐκ ἄν ποτε ληφθείη ὑπὸ τῦ νῦν. τὸ γὰρ προϊὸν, ἕτως ἔχει ὡς ἀμφοτέρων ἐφάπτεσθαι, τῦ τε νῦν καὶ τῦ ἔπειτα· τῦ μὲν νῦν ἀφιέμενον, τῦ δ' ἔπειτα ἐπιλαμβανόμενον· μεταξὺ ἀμφοτέρων γιγνόμενον, τῦ τε ἔπειτα καὶ τῦ νῦν. Ἀληθῆ. Εἰ δέ γε ἀνάγκη μὴ παρελθεῖν τὸ νῦν πᾶν τὸ γιγνόμενον, ἐπειδὰν κατὰ τῦτο ᾖ, ἐπίσχει ἀεὶ τῦ γίγνεσθαι· καὶ ἔσι τότε τῦτο ὅ, τι ἂν τύχοι γιγνόμενον. Φαίνεται. Καὶ τὸ ἓν ἄρα, ὅταν πρεσβύτερον γιγνόμενον ἐντύχῃ τῷ νῦν, ἐπέσχε τῦ γίγνεσθαι, καὶ ἔσι τότε πρεσβύτερον. Πάνυ μὲν ἴν. Οὐκῦν ἔπερ ἐγίγνετο πρεσβύτερον, τῦτο καὶ ἔσιν; ἐγίγνετο δὲ αὐτῦ; Ναί. Ἔσι δὲ τὸ πρεσβύτερον νεωτέρυ πρεσβύτερον; Ἔσι. Καὶ νεώτερον ἄρα τό-

τε

2. Ita repoſuimus, cum κοινωνίας, quod eſt in libris ipſius rei, tum Ficini et editis omnibus, etiam in Stephani, admonitu, pro exemplo Stephaniano.

τε αὐτῷ ἐστὶ τὸ ἓν, ὅταν πρεσβύτερον γιγνόμενον ἐντύχῃ τῷ νῦν. Ἀνάγκη. Τό γε μὴν νῦν ἀεὶ πάρεστι τῷ ἑνὶ διὰ παντὸς τῷ εἶναι. ἔστι γὰρ ἀεὶ νῦν ὅταν περ ᾖ. Πῶς γὰρ ἄ; Ἀεὶ ἄρα ἐστί τε καὶ γίγνεται πρεσβύτερον ἑαυτῷ καὶ νεώτερον τὸ ἕν. Ἔοικε. Πλείω δὲ χρόνον [3] αὐτὸ ἑαυτῷ ἐστὶν ἢ γίγνεται; ἢ τὸν ἴσον; Τὸν ἴσον. Ἀλλὰ μὴν τόν γε [4] ἴσον χρόνον ἢ γιγνόμενον ἢ ὄν, τὴν αὐτὴν ἡλικίαν ἔχει. Πῶς δ' ἄ; Τὸ δὲ τὴν αὐτὴν ἡλικίαν ἔχον, ἅτε πρεσβύτερον ἅτε νεώτερόν ἐστιν. Οὐ γάρ. Τὸ ἓν ἄρα τὸν ἴσον χρόνον αὐτὸ ἑαυτῷ καὶ γιγνόμενον καὶ ὄν, ἅτε νεώτερον, ἅτε πρεσβύτερον ἑαυτῷ ἐστὶν, ἅτε γίγνεται. Οὔ μοι δοκεῖ. Τί δὲ τῶν ἄλλων; Οὐκ ἔχω λέγειν. Τόδε γε μὴν ἔχεις λέγειν, ὅτι τἄλλα τῷ ἑνὸς; εἴπερ ἕτερά ἐστιν, ἀλλὰ μὴ ἕτερον, πλείω ἐστὶν ἑνός. ἕτερον μὲν γὰρ ὄν, ἓν ἂν ᾖ· ἕτερα δὲ ὄντα, πλείω ἑνός ἐστι, καὶ πλῆθος ἂν ἔχοι. Ἔχοι γὰρ ἄν. Πλῆθος δὲ ὄν, ἀριθμῷ πλείονος ἂν μετέχοι ἢ τῷ ἑνός. Πῶς δ' ἄ; Τί ἕν; ἀριθμῷ Φήσομεν τὰ πλείω γίγνεσθαί τε καὶ γεγονέναι πρότερον; ἢ τὰ ἐλάττω; Τὰ ἐλάττω. Τὸ ὀλίγιστον ἄρα πρῶτον. τοῦτο δ' ἔστι τὸ ἕν. ἦ γάρ; Ναί. Πάντων ἄρα τὸ ἓν πρῶτον γέγονε τῶν ἀριθμὸν [5] ἐχόντων.

3. Cornarius in Eclogis post πλέω δὲ inserenda censebat verba ἢ ἐλάττω, ita, *Longiore vero aut breuiore tempore ipsum se ipso est* —. Sed iam Ficinus ita scriptum inuenerat suis in Codicibus. nam vertit locum Latine sic, *Quin etiam longiusne, vel breuius tempus est, aut fit, quam ipsummet, an potius aequum?* Atque hinc intellegi potest, quid sibi velint in Notis Stephani verba, *Desunt hae duae voces, ἢ ἐλάττω, post χρόνον, quas et Ficini agnoscit interpretatio.*

4. Bas. 2 τόνε.

5. Ald. Bas. 1. 2 ἀριθμῶν. At Ficinus, *Vnum ergo primum factum omnium, quae* numerum *capiunt*: quem recte sequutus est Stephanus.

των. ἔχει δὲ καὶ τἄλλα πάντα ἀριθμὸν, εἴπερ ἄλλα καὶ μὴ ἄλλο ἐςίν. Ἔχει γάρ. Πρῶτον δέ γε, οἶμαι, γεγονὸς, πρότερον γέγονε· τὰ δὲ ἄλλα, ὕςερον. τὰ δ' ὕςερα γεγονότα, νεώτερα τȣ̃ πρότερον γεγονότος. καὶ ȣ̃τως ἂν εἴη τὰ ἄλλα νεώτερα τȣ̃ ἑνός· τὸ δὲ ἓν, πρεσβύτερον τῶν ἄλλων. Εἴη γὰρ ἄν. Τί δὲ τόδε; ἆρ' ἂν εἴη τὸ ἓν παρὰ φύσιν τὴν αὑτȣ̃ γεγονός; ἢ ἀδύνατον; Ἀδύνατον. Ἀλλὰ μὴν μέρη γε ἔχον ἐφάνη τὸ ἕν. εἰ δὲ μέρη, καὶ ἀρχὴν καὶ τελευτὴν καὶ μέσον. Ναί. Οὐκȣ̃ν πάντων πρῶτον ἀρχὴ γίγνεται, καὶ αὐτȣ̃ τȣ̃ ἑνὸς, καὶ ἑκάςȣ τῶν ἄλλων; καὶ μετὰ τὴν ἀρχὴν, καὶ τἄλλα πάντα μέχρι τȣ̃ τέλȣς; Τί μήν; Καὶ μὴν μόριά γε φήσομεν ταῦτ' εἶναι πάντα τἄλλα τȣ̃ ὅλȣ τε καὶ ἑνός· αὐτὸ δὲ ἐκεῖνο ἅμα τῇ τελευτῇ γεγονέναι ἕν τε καὶ ὅλον. Φήσομεν γάρ. Τελευτὴ δέ γε, οἶμαι, ὕςατον γίγνεται. τȣ́τῳ δ' ἅμα τὸ ἓν πέφυκε γίγνεσθαι. ὥς' εἴπερ ἀνάγκη αὐτὸ τὸ ἓν μὴ παρὰ φύσιν γίγνεσθαι, ἅμα τελευτῇ ἂν γεγονὸς, ὕςατον ἂν τῶν ἄλλων πεφυκὸς εἴη γίγνεσθαι. Φαίνεται. Νεώτερον ἄρα τῶν ἄλλων τὸ ἕν ἐςι, τὰ δ' ἄλλα τȣ̃ ἑνὸς πρεσβύτερα. Οὕτως αὖ μοὶ φαίνεται. Τί δὲ δή; ἀρχὴν, ἢ ἄλλο μέρος ὁτιȣ̃ν τȣ̃ ἑνὸς, ἢ ἄλλȣ ὁτȣȣ̃ν,[1] ἐάνπερ μέρος ᾖ, ἀλλὰ μὴ μέρη, ȣ̓κ ἀναγκαῖον ἓν εἶναι, μέρος γε ὄν; Ἀνάγκη. Οὐκȣ̃ν τὸ ἓν ἅμα τε τῷ πρώτῳ γιγνομένῳ γίγνοιτ' ἂν, καὶ ἅμα τῷ δευτέρῳ· καὶ ȣ̓δενὸς ἀπολείπεται τῶν ἄλλων γιγνομένων, ὅ, τι περ ἂν προσγίγνηται ὁτῳȣ̃ν, ἕως ἂν πρὸς τὸ ἔσχατον διελθὸν, ὅλον ἓν γένηται· ȣ̓́τε μέσȣ, ȣ̓́τε ἐσχάτȣ, ȣ̓́τε πρώτȣ, ȣ̓́τε ἄλλȣ ȣ̓δενὸς ἀπολειφθὲν ἐν τῇ γε-

1. Ita reposuit, Ficino ἢ ἄλλα ὁτȣȣ̃ν, quod est in praeeunte, Stephanus pro Ald. Bas. 1. 2.

γενέσει. Ἀληθῆ. Πᾶσιν ἄρα τοῖς ἄλλοις τὴν αὐτὴν ἡλικίαν ἴσχει τὸ ἕν. ὥς εἰ μὴ παρὰ φύσιν πέφυκεν αὐτὸ τὸ ἕν, ἔτε πρότερον ἔτε ὕστερον τῶν ἄλλων γεγονὸς ἂν εἴη, ἀλλ' ἅμα. καὶ κατὰ τοῦτον τὸν λόγον τὸ ἓν τῶν ἄλλων ἔτε πρεσβύτερον ἔτε νεώτερον ἂν εἴη, οὐδὲ τἆλλα τοῦ ἑνός· κατὰ δὲ τὸν πρόσθεν, πρεσβύτερόν τε καὶ νεώτερον, καὶ τἆλλα ἐκείνῳ ὡσαύτως. Πάνυ μὲν οὖν. Ἔστι μὲν δὴ ἔτως ἔχον τε καὶ γεγονός. ἀλλὰ τί αὖ περὶ τοῦ γίγνεσθαι αὐτὸ πρεσβύτερόν τε καὶ νεώτερον τῶν ἄλλων, καὶ τἆλλα τοῦ ἑνὸς, καὶ μήτε νεώτερον μήτε πρεσβύτερον γίγνεσθαι; ἆρα ὥσπερ περὶ τοῦ εἶναι, ἔτω καὶ περὶ τοῦ γίγνεσθαι ἔχει; ἢ ἑτέρως; Οὐκ ἔχω λέγειν. Ἀλλ' ἐγὼ τοσόνδέ γε, ὅτι εἰ καὶ ἔστι πρεσβύτερον ἕτερον ἑτέρου, γίγνεσθαί γε αὐτὸ πρεσβύτερον ἔτι, ἢ ὡς τοπρῶτον εὐθὺς γενόμενον διήνεγκε τῇ ἡλικίᾳ, ἐκ ἂν ἔτι δύναιτο· οὐδ' αὖ τὸ νεώτερον ὄν, ἔτι νεώτερον γίγνεσθαι. ἀνίσοις γὰρ ἴσα προστιθέμενα, χρόνῳ τε καὶ ἄλλῳ ὁτῳῶν, ἴσῳ ποιεῖ διαφέρειν ἀεὶ ὅσῳπερ ἂν τοπρῶτον διενέγκῃ. Πῶς γὰρ ἄ; Οὐκ ἄρα τόγε ἂν τοῦ ἑνὸς ὄντος γίγνοιτ' ἂν ποτὲ πρεσβύτερον, ἔτε νεώτερον, εἴπερ ἴσῳ διαφέρει ἀεὶ τὴν ἡλικίαν· ἀλλ' ἔστι καὶ γέγονε πρεσβύτερον, τὸ δὲ, νεώτερον·[2] γίγνεταί δ' ἄ. Ἀληθῆ. Καὶ τὸ ἓν ἄρα ὂν, τῶν ἄλλων ὄντων ἔτε πρεσβύτερον ποτὲ, ἔτε νεώτερον γίγνεται. Οὐ γὰρ ἦν. Ὅρα δὲ εἰ τῇδε πρεσβύτερα καὶ νεώτερα[3] γί-

2. Cornarius in Eclogis legi iubet πρεσβύτερόν τε καὶ νεώτερον At Ficinus vertit, *Sed et est et fuit, hoc quidem senius, illud autem iunius.* Hinc Stephanus eum legisse suspicabatur τὸ μὲν πρεσβύτερον. Sed lectionem πρεσβυτερόν τε καὶ νεώτερον afferri ex vetere exemplari ait dissimulator.

3. Ald. Bas. 1. 2 πρεσβυτέρα — νεωτέρα.

γίγνεται. Πῇ δή; Ἢ τό, τε [4] ἓν τῶν ἄλλων ἐφάνη πρεσβύτερον, καὶ τἆλλα τῶ ἑνός. Τί ἦν; Ὅταν τὸ ἓν τῶν ἄλλων πρεσβύτερον ᾖ, πλείω [5] χρόνον γέγονεν ἢ τἆλλα. Ναί. Πάλιν δὴ σκόπει· ἐὰν πλείονι καὶ ἐλάττονι χρόνῳ προστιθῶμεν τὸν ἴσον χρόνον, ἆρα τῷ ἴσῳ μορίῳ δίσει τὸ πλέον τῶ ἐλάττονος, ἢ σμικροτέρῳ; Σμικροτέρῳ. Οὐκ ἄρα ἔσαι ὅ, τι περ [6] τοπρῶτον ἦν πρὸς τἆλλα ἡλικίᾳ διαφέρον τὸ ἕν, τῶτο καὶ εἰς τὸ ἔπειτα, ἀλλὰ ἴσον λαμβάνον χρόνον τοῖς ἄλλοις, ἔλαττον ἀιεὶ τῇ ἡλικίᾳ δίσει αὐτῶν ἢ πρότερον. ἢ ἔ; Ναί. Οὐκῶν τόγε ἔλαττον διαφέρον ἡλικίᾳ πρός τι ἢ πρότερον, νεώτερον γίγνοιτ' ἂν ἢ ἐν τῷ πρόσθεν, πρὸς ἐκεῖνα πρὸς ἃ ἦν πρεσβύτερον πρότερον; Νεώτερον; Εἰ δὲ ἐκεῖνο νεώτερον, ἐκ ἐκεῖνα αὖ τὰ ἄλλα πρὸς τὸ ἓν πρεσβύτερα ἢ πρότερον; Πάνυ γε. Τὸ μὲν νεώτερον ἄρα γεγονὸς, πρεσβύτερον γίγνεται πρὸς τὸ πρότερον γεγονός τε καὶ πρεσβύτερον ὄν. ἔσι δὲ ἀδέποτε πρεσβύτερον, ἀλλὰ γίγνεται ἀιεὶ ἐκείνε πρεσβύτερον. ἐκεῖνο μὲν γὰρ ἐπὶ τὸ νεώτερον ἐπιδίδωσι, τὸ δ' ἐπὶ τὸ πρεσβύτερον. τὸ δ' αὖ πρεσβύτερον τῶ νεωτέρε νεώτερον γίγνεται ὡσαύτως. ἰόντε γὰρ ἀυτὼ εἰς τὸ ἐναντίον, τὸ ἐναντίον ἀλλήλοιν γίγνεσθον· τὸ μὲν νεώτερον, πρεσβύτερον τῶ πρεσβυτέρε· τὸ δὲ πρεσβύτερον, νεώτερον τῶ νεωτέρε. γενέσθαι δὲ ἐκ ἂν οἷόντε ἦτην. εἰ γὰρ γένοιντο, [7] ἐκ ἂν ἔτι γίγνοιντο, ἀλλ' εἶεν ἄν. νῦν δὲ γίγνονται μὲν πρεσβύτερα ἀλλήλων καὶ νεώτε-

4. Ald. Baſ. 1. 2 τότε.
5. Ald. Baſ. 1. 2 πρεσβύτερον, ἢ πλέω.
6. Ald. Baſ. 1. 2 ὅτιπερ.
7. Ald. δίνοιντο· e quo in Baſ. 1 factum eſt δύνοιντο· quod retinet Baſ. 2. Stephanus vero recte repoſuit γένοιντο, praeeunte Ficini Verſione Latina, in qua eſt, *Nam ſi facta fuiſſent, non amplius fierent.*

νεώτερα. τὸ μὲν ἓν, τῶν ἄλλων νεώτερον γίγνεται, ὅτι πρεσβύτερον ἐφάνη ὂν καὶ πρότερον γεγονός· τὰ δὲ ἄλλα τῷ ἑνὸς πρεσβύτερα, ὅτι ὕστερα γέγονε. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τἆλλα τὰ τοῦτο[8] πρὸς τὸ ἓν ἴσχει, ἐπειδήπερ αὐτῷ πρεσβύτερα ἐφάνη καὶ πρότερα γεγονότα. Φαίνεται γὰρ ἓν ὄν. Οὐκοῦν ἢ μὲν ὃς ἕτερον ἑτέρῳ πρεσβύτερον γίγνεται ὃς δὲ νεώτερον, κατὰ τὸ ἴσῳ ἀριθμῷ ἀλλήλων ἀεὶ διαφέρειν, ὅτε τὸ ἓν τῶν ἄλλων πρεσβύτερον γίγνοιτ' ἂν, ὃς δὲ νεώτερον, ὅτε τἆλλα τῷ ἑνός; ἢ δὲ ἄλλῳ ἀεὶ μορίῳ διαφέρειν ἀνάγκη τὰ πρότερα τῶν ὑστέρων γενόμενα, καὶ τὰ ὕστερα τῶν προτέρων, ταύτῃ δὴ ἀνάγκη πρεσβύτερά τε καὶ νεώτερα ἀλλήλων γίγνεσθαι τά τε ἄλλα τῷ ἑνὸς, καὶ τὸ ἓν τῶν ἄλλων; Πάνυ μὲν οὖν. Κατὰ δὴ πάντα ταῦτα τὸ ἓν αὐτό τε αὑτῷ καὶ τῶν ἄλλων πρεσβύτερον καὶ νεώτερον ἐστί τε καὶ γίγνεται, καὶ ὅτε πρεσβύτερον ὅτε νεώτερον ἔστ' ἔσιν ὅτε γίγνεται, ὅτε αὑτῷ ὅτε τῶν ἄλλων. Παντελῶς
21 μὲν οὖν. Ἐπειδὴ δὲ χρόνου μετέχει τὸ ἓν, καὶ τῷ πρεσβύτερόν τε καὶ νεώτερον γίγνεσθαι, ἆρ' οὐκ ἀνάγκη καὶ τῷ ποτὲ μετέχειν, καὶ τῷ ἔπειτα, καὶ τῷ νῦν, εἴπερ χρόνου μετέχει; Ἀνάγκη. Ἦν ἄρα τὸ ἓν, καὶ ἔστι καὶ ἔσται, καὶ ἐγίγνετο καὶ γίγνεται καὶ γενήσεται.[1] Τί μήν; Καὶ εἴη ἂν τι ἐκείνῳ καὶ ἐκείνου, καὶ ἦν καὶ ἔστι καὶ ἔσται. Πάνυ γε. Καὶ ἐπιστήμη δὴ εἴη ἂν αὐτῷ καὶ δόξα καὶ αἴσθησις, εἴπερ καὶ νῦν ἡμεῖς περὶ αὐτοῦ πάντα ταῦτα πράτ-

8. Bas. 2 ὅτω. Ficinus, *cætera quoque* similiter *ad unum se habent.*

1. Verba καὶ γενήσεται non leguntur in Ald. Bas. 1. Addi illa Cornarius in Eclogis iussit. Sed iam in Bas. 2 recte addita sunt, et expressa a Ficino in Versione Latina, *fiebatque, et fit, et fiet.*

πράττομεν. Ὀρθῶς λέγεις. Καὶ ὄνομα δὴ καὶ λόγος ἐστὶν αὐτῷ, καὶ ὀνομάζεται καὶ λέγεται· καὶ ὅσά περ καὶ περὶ τἄλλα τῶν τοιούτων τυγχάνει ὄντα, καὶ περὶ τὸ ἕν ἐστι. Παντελῶς μὲν ἕν ἔχει ἅπας. Ἔτι δὴ τὸ τρίτον λέγωμεν. τὸ ἓν εἰ ἔστιν οἷον διελήλυθαμεν, ἆρ' ἀνάγκη αὐτὸ, ἕν τε ὂν καὶ πολλὰ, καὶ μήτε ἓν μήτε πολλὰ, καὶ μετέχον χρόνου, ὅτι μέν ἐστιν ἓν, οὐσίας μετέχειν ποτέ; ὅτι δ' οὐκ ἔστι μὴ μετέχειν αὖ ποτὲ οὐσίας; Ἀνάγκη. Ἆρ' ἕν ὅτε μετέχει, οἷόν τε ἦσαν τότε μὴ μετέχειν; ἢ, ὅτε μὴ μετέχει, μετέχειν; Οὐχ οἷόν τε. Ἐν ἄλλῳ ἄρα χρόνῳ μετέχει, καὶ ἐν ἄλλῳ ἃ μετέχει. ἅπαν γὰρ ἂν μόνως τῷ αὐτῷ μετέχοι τε καὶ ἃ μετέχοι. Ὀρθῶς. Οὐκοῦν ἔστι καὶ ἅπας χρόνος ὅτε μεταλαμβάνει τοῦ εἶναι, καὶ ὅτε ἀπαλλάττεται αὐτοῦ; ἢ πῶς οἷόν τε ἦσαν τοτὲ μὲν ἔχειν τὸ αὐτὸ, τοτὲ [2] δὲ μὴ ἔχειν; ἐὰν μήποτε καὶ λαμβάνῃ αὐτὸ καὶ ἀφίῃ; Οὐδαμῶς. Τὸ δὴ οὐσίας μεταλαμβάνειν, ἆρά γε γίγνεσθαι καλεῖς; Ἔγωγε. Τὸ δὲ ἀπαλλάττεσθαι οὐσίας, ἆρα οὐκ ἀπόλυσθαι; Καὶ πάνυ γε. Τὸ ἓν δή, ὡς ἔοικε, λαμβάνον τε καὶ ἀφιὲν οὐσίαν, γίγνεται καὶ ἀπόλυται. Ἀνάγκη. Ἓν δὲ καὶ πολλὰ ὄν, καὶ γιγνόμενον καὶ ἀπολλύμενον, ἆρ' οὐχ ὅταν μὲν γίγνηται ἕν, τὸ πολλὰ εἶναι ἀπόλυται, ὅταν δὲ πολλὰ, τὸ ἓν εἶναι ἀπόλυται; Πάνυ γε. Ἓν δὲ γιγνόμενον καὶ πολλὰ, ἆρ' οὐκ ἀνάγκη διακρίνεσθαί τε καὶ συγκρίνεσθαι; Πολλή γε. Καὶ μὴν ἀνόμοιόν γε καὶ ὅμοιον ὅταν γίγνηται, ὁμοιοῦσθαί τε καὶ ἀνομοιοῦσθαι; Ναί. Καὶ ὅταν μεῖζον καὶ ἔλαττον καὶ ἴσον, αὐξάνεσθαί τε καὶ φθίνειν, καὶ ἰσοῦσθαι; [3] Οὕτως. Ὅταν δὲ κινούμενόν τε

2. Ald. Bas. 1. 2 τότε· vitiose.

3. Ald. Bas. 1 ἰοῦσθαι· mendose.

τε ἴσηται, καὶ ὅταν ἐσὼς ἐπὶ τὸ κινεῖσθαι μεταβάλλῃ, δεῖ δήπου αὐτό γε μήδ' ἐν ἑνὶ χρόνῳ εἶναι. Πῶς δή; Ἐσώς τε πρότερον, ὕστερον κινεῖσθαι· καὶ πρότερον κινούμενον, ὕστερον ἑσάναι. ἄνευ μὲν τοῦ μεταβάλλειν οὐχ οἷόν τε ἔσαι ταῦτα πάσχειν. Πῶς γάρ; Χρόνος δέ γε ἐστὶν ἐν ᾧ τι οἷόν τε ἅμα μήτε κινεῖσθαι μήτε ἑσάναι. Οὐ γὰρ ἔν. Ἀλλ' ἆρα μὴν μεταβάλλει ἄνευ τοῦ μεταβάλλειν. Οὐκ εἰκός. Πότ' ἂν μεταβάλλει; ὅτε γὰρ ἐσὼς ἂν ὅτε κινούμενον μεταβάλλοι, ὅτε ἐν χρόνῳ ὄν. Οὐ γὰρ ἔν. Ἆρ' ἔν ἐστι τὸ ἄτοπον τοῦτο ἐν ᾧ τότ' ἂν εἴη ὅτε μεταβάλλει; Τὸ ποῖον δή; Τὸ ἐξαίφνης. τὸ γὰρ ἐξαίφνης τοιοῦτόν τι ἔοικε σημαίνειν, ὡς ἐξ ἐκείνου μεταβάλλον εἰς ἑκάτερον. οὐ γὰρ ἔκ γε [4] τοῦ ἑσάναι ἑσῶτος ἔτι μεταβάλλει, οὐδ' ἐκ τῆς κινήσεως κινουμένης ἔτι μεταβάλλει· ἀλλὰ ἡ ἐξαίφνης ἄυτη φύσις, ἄτοπός τις ἐγκάθηται, μεταξὺ τῆς κινήσεώς τε καὶ στάσεως, ἐν χρόνῳ οὐδὲν ὅσα. καὶ εἰς ταύτην δὴ καὶ ἐκ ταύτης τό, τε [5] κινούμενον μεταβάλλει ἐπὶ τὸ ἑσάναι, καὶ τὸ ἐσὼς ἐπὶ τὸ κινεῖσθαι. Κινδυνεύει. Καὶ τὸ ἓν δή, εἴπερ ἕστηκέ τε καὶ κινεῖται, μεταβάλλοι ἂν ἐφ' ἑκάτερα. μόνως γὰρ ἂν ὅτως ἀμφότερα ποιοῖ. μεταβάλλον δ' ἐξαίφνης μεταβάλλει· καὶ ὅτε μεταβάλλει, ἐν οὐδενὶ χρόνῳ ἂν εἴη· οὐδὲ κινοῖτ' ἂν τότε, οὐδ' ἂν στάίη. Οὐ γάρ. Ἆρ' ἔν ὅτω καὶ πρὸς τὰς ἄλλας μεταβολὰς ἔχει; ὅταν ἐκ τοῦ εἶναι εἰς τὸ ἀπόλλυσθαι μεταβάλῃ, ἢ ἐκ τοῦ μὴ εἶναι εἰς τὸ γίγνεσθαι, μεταξὺ τινῶν [6] τότε γίγνεται κινήσεών τε καὶ στάσεων; καὶ ὅτε ἔστι τότε, ὅτε ἐκ ἔστιν· ὅτε γίγνεται, ὅτε
22 ἀπόλλυται; Ἔοικε γοῦν. Κατὰ δὴ τὸν αὐτὸν λόγον

4. Ald. Bas. 1, 2 τε.
5. Ald. τότε.
6. Ald. Bas. 1, 2 μεταξύ τινων.

γον καὶ ἐξ ἑνὸς ἐπὶ πολλὰ ἰὸν, καὶ ἐκ πολλῶν ἐφ' ἓν, ὅτε ἕν ἐστιν, ὅτε πολλὰ, ὅτε διακρίνεται, ὅτε συγκρίνεται· καὶ ἐξ ὁμοίου ἐπὶ ἀνόμοιον, καὶ ἐξ ἀνομοίου ἐπὶ τὸ ὅμοιον ἰὸν, ὅτε ὅμοιον, ὅτε ἀνόμοιον· ὅτε ὁμοιούμενον, ὅτε ἀνομοιούμενον. καὶ ἐκ μικροῦ ἐπὶ μέγα, καὶ ἐπὶ ἴσον καὶ εἰς ταναντία ἰὸν, ὅτε σμικρὸν, ὅτε μέγα, ὅτε ἴσον,[1] ὅτε αὐξανόμενον, ὅτε φθῖνον, ὅτε ἰσάμενον εἴη ἄν. Ἔοικε.[2] Ταῦτα δὴ τὰ παθήματα πάντ' ἂν πάσχοι τὸ ἕν, εἰ ἔστι. Πῶς δ' ὄ; Τί δὲ τοῖς ἄλλοις προσήκοι ἂν πάσχειν, ἐν εἰ ἔστιν, ἆρα ὐ σκεπ]έον; Σκεπ]έον. Λέγωμεν δὴ, ἓν εἰ ἔστι, τἆλλα τοῦ ἑνὸς τί χρὴ πεπονθέναι. Λέγωμεν. Οὐκοῦν, ἐπείπερ ἄλλα τοῦ ἑνός ἐστιν, ὅτε τὸ ἕν ἐστι τἆλλα; ὐ γὰρ ἂν ἄλλα τοῦ ἑνὸς ἦν. Ὀρθῶς. Οὐδὲ μὴν στέρεταί γε[3] παντάπασι τοῦ ἑνὸς τἆλλα, ἀλλὰ μετέχει πη. Πῇ δή; Ὅτι πᾳ τἆλλα τοῦ ἑνὸς μόρια ἔχοντα, ἄλλα ἐστίν. εἰ γὰρ μόρια μὴ ἔχει, παντελῶς ἂν ἓν εἴη. Ὀρθῶς. Μόρια δέ γε, φαμὲν, τάτᾳ ἐστὶν ὃ ἂν ὅλον ᾖ. Φαμὲν γάρ. Ἀλλὰ μὴν τόγε ὅλον, ἓν ἐκ πολλῶν ἀνάγκη εἶναι, ἃ ἔσαι μόρια τὰ μόρια. ἕκαστον γὰρ τῶν μορίων, ὐ πολλῶν μόριον χρὴ εἶναι, ἀλλὰ ὅλα. Πῶς τοῦτο; Εἴ τι πολλῶν μόριον εἴη,

1. Cornarius in Eclogis orationem hic mancam esse arbitrabatur, et integritati suae ita restituendam, ὅτε ἴσον, ὅτ' ἄνισον — ὅτε ἰσάμενον ὅτ' ἀνισάμενον —. Ficinus in Latina Versione nec verba ὅτε ἴσον reddidit, nec verba ὅτ' ἀνισάμενον. Quid vero Stephanus? Hic in Notis, *Post* ὅτε ἴσον *legitur*, inquit, *in quodam vet.* ὅτ' ἀνισον· *sicut in iis, quae proxime sequuntur, legitur* ὅτ' ἀνισάμενον *post* ἰσάμενον.

2. Marg. Stephan. *Alia est lectio,* οὐκ ἔοικε· *quam et Ficinus agnovit.* recte. nam Versio eius Latina habet, *Non videtur:* et alia illa lectio reperitur in Bas. 2.

3. Ald. Bas. 1 στέρεταί τι. Bas. 2 στέρεταί τε male.

ἐν οἷς ἂν αὐτὸ εἴη, ἑαυτȣ̃ τε δήπȣ μόριον ἔσαι, ὅ ἐστιν ἀδύνατον, καὶ τῶν ἄλλων δὴ ἑνὸς ἑκάστȣ, εἴπερ καὶ πάντων. ἑνὸς γὰρ μὴ ὂν [4] μόριον, πλὴν τȣ́τȣ, τῶν ἄλλων ἔσαι· καὶ ȣ̃τως ἑνὸς ἑκάστȣ ȣ̓κ ἔσαι μόριον. μὴ ὂν δὲ μόριον ἑκάστȣ, ȣ̓δενὸς τῶν πολλῶν ἔσαι· μηδενὸς δὲ ὂν, πάντων τȣ́των τι εἶναι, ὧν ȣ̓δενὸς ȣ̓δέν ἐστι καὶ μόριον καὶ ἄλλο ὁτιȣ̃ν, ἀδύνατον εἶναι. Φαίνεταί γε δή. Οὐκ ἄρα τῶν πολλῶν, ȣ̓δὲ πάντων, τὸ μόριον, μόριον, ἀλλὰ μιᾶς τινος ἰδέας, καὶ ἑνός τινος, ὃ καλȣ̃μεν ὅλον, ἐξ ἁπάντων ἓν τέλειον γεγονὸς, τȣ́τȣ μόριον ἂν τὸ μόριον εἴη. Παντάπασι μὲν ȣ̃ν. Εἰ ἄρα τἄλλα μόρια ἴσχει, κἂν τȣ̃ ὅλȣ τε καὶ ἑνὸς μετέχοι. Πάνυ γε. Ἓν ἄρα ὅλον τέλειον μόρια ἔχον, ἀνάγκη εἶναι τἄλλα τȣ̃ ἑνός. Ἀνάγκη. Καὶ μὴν καὶ περὶ τȣ̃ μορίȣ γε ἑκάστȣ ὁ ἀυτὸς λόγος. καὶ γὰρ τȣ́τȣ ἀνάγκη μετέχειν τȣ̃ ἑνός. εἰ γὰρ ἕκαστον ἀυτῶν μόριόν ἐστι, τό γε ἕκαστον εἶναι, ἓν δήπȣ σημαίνει· ἀφωρισμένον μὲν τῶν ἄλλων, καθ' ἀυτὸ δὲ ὂν, εἴπερ ἕκαστον ἔσαι. Ὀρθῶς. Μετέχοι δέ γε ἂν τȣ̃ ἑνὸς, δηλονότι ἄλλο ὂν ἢ ἕν. ȣ̓ γὰρ ἂν μετεῖχεν, ἀλλ' ἦν ἂν ἀυτὸ ἕν. νῦν δὲ ἑνὶ μὲν εἶναι, πλὴν ἀυτῷ τῷ ἑνὶ, ἀδύνατόν πȣ. Ἀδύνατον. Μετέχειν δέ γε τȣ̃ ἑνὸς ἀνάγκη τῷ τε ὅλῳ καὶ τῷ μορίῳ. τὸ μὲν γὰρ ἓν, ὅλον ἔσαι, ȣ̃ μόρια τὰ μόρια· τὸ δ' αὖ ἕκαστον, ἓν μόριον τȣ̃ ὅλȣ, ὃ ἂν ᾖ μόριον ὅλȣ. Οὕτως. Οὐκȣ̃ν ἕτερα ὄντα, τȣ̃ ἑνὸς μεθέξει τὰ μετέχοντα ἀυτȣ̃; [5] Πῶς δ' ȣ̓; Τὰ δ' ἕτερα τȣ̃ ἑνὸς, πολλά πȣ εἴη ἄν. εἰ γὰρ μήτε ἓν, μήτε ἑνὸς πλείω εἴη τἄλλα τȣ̃ ἑνὸς, ȣ̓δὲν ἂν εἴη. Οὐ γὰρ ȣ̃ν.

4. Ald. Baſ. 1. 2 ἄν. At Ficinus, *Vnius enim non* exiſtens *pars*.

5. Stephanus coni. ȣ̓κȣ̃ν ἕτερα ὄντα τȣ̃ ἑνὸς, ἑνὸς μεθέξει τὰ μετέχοντα ἀυτȣ̃· quam emendationem vnde hauſerit, paulo poſt apparebit.

ἕν. Ἐπεὶ δέ γε πλείω ἑνός ἐσι τά τε τῆ ἑνὸς μορίᾳ, καὶ τὰ τῆ ἑνὸς ὅλα μετέχοντα, ἀνάγκη δὴ ἄπειρα πλήθει εἶναι αὐτά γε ἐκεῖνα τὰ μεταλαμβάνοντα τῆ ἑνός; Πῶς; Ὧδε εἰδῶμεν. ἄλλο τι ἓν ὂντα, ἁδὲ μετέχοντα τῆ ἑνὸς, τότε ὅτε μεταλαμβάνει αὐτῆ, μεταλαμβάνει. Δηλαδή. Οὐκοῦν πλήθη ὄιτα, ἐν οἷς τὸ ἓν ἀπ ἔνι; Πλήθη μέντοι. Τί οὖν; εἰ ἐθέλοιμεν τῇ διανοίᾳ τῶν τοιούτων ἀφελεῖν ὡς οἷοί τε ἐσμὲν ὅτι ὀλίγιστον, ἀπ ἀνάγκη καὶ τὸ ἀφαιρεθὲν ἐκεῖνο, εἴπερ τῆ ἑνὸς μὴ μετέχοι, πλῆθος εἶναι, καὶ ἀχ ἕν; Ἀνάγκη. Οὐκοῦν ἕτως ἀεὶ σκοπῶντι αὐτὴν καθ' αὐτὴν τὴν ἑτέραν Φύσιν τῆ εἴδος, ὅσον ἂν αὐτῆς ἀεὶ ἑλῶμεν, ἄπειρον ἔσαι πλήθει; Παντάπασι μὲν οὖν. Καὶ μὴν ἐπειδάν γε ἓν ἕκασον μόριον γένηται, πέρας ἤδη ἔχει πρὸς ἄλληλα, καὶ πρὸς τὸ ὅλον, καὶ τὸ ὅλον πρὸς τὰ μόρια. Κομιδῆ μὲν οὖν. Τοῖς ἄλλοις δὴ τῆ ἑνὸς συμβαίνει, ἀπ μὲν τῆ ἑνὸς καὶ ἐξ ἑαυτῶν κοινωνησάντων, ὡς ἔοικεν, ἕτερόν τι γίγνεσθαι ἐν αὐτοῖς, ἓ δὴ πέρας παρέσχε πρὸς ἄλληλα· ἡ δὲ αὐτῶν Φύσις καθ' ἑαυτὰ, ἀπειρίαν. Φαίνεται. Οὕτω δὴ τἄλλα τῆ ἑνὸς, καὶ ὅλα καὶ

6. Bas. 1. 2 ὅ, τι male.

7. Cornarius in Eclogis legi iubet, καὶ μὴν ἐπειδάν γε ἓν ἕκασον μόριον, μόριον γένηται· recte, opinor: etsi in Ficini quoque Versione Latina tantum est, *Postquam vnaquaelibet pars effecta est.* Iam vide mihi impudentiam Stephani, qui in Notis, *In annotatione proxime praecedente*, inquit, ἑνὸς *bis scribendum esse dixi: at hic, non ex coniectura, sed ex fide vet. libri* μόριον *bis esse scribendum dico, hoc modo*, καὶ μὴν ἐπειδάν γε ἓν ἕκασον μόριον, μόριον γένηται. At vt hanc lectionem furatus est dissimulator e Cornarii Eclogis, ita superiorem illam coniecturam sumsit e Versione Ficini Latina. haec enim habet, *Nonne igitur quum alia sint, quam vnum, vno participant omnia, quae participant?*

κατὰ τὰ μόρια,[8] ἄπειρά τέ ἐστι καὶ πέρατος μετέχει. Πάνυ γε. Οὐκοῦν καὶ ὅμοιά τε καὶ ἀνόμοια ἀλλήλοις τε καὶ ἑαυτοῖς; Πῇ δή; Ἢ μέν πᾳ ἄπειρά ἐστι κατὰ τὴν ἑαυτῶν φύσιν πάντα, ταυτὸν πεπονθότα ἂν εἴη ταύτῃ. Πάνυ γε. Καὶ μὴν ἥ γε ἅπαντα πέρατος μετέχει, καὶ ταύτῃ πάντ' ἂν εἴη ταυτὸν πεπονθότα. Πῶς δ' ἔ; Ἢ δέ γε πεπερασμένα τε εἶναι καὶ ἄπειρα πέπονθεν, ἐναντία πάθη ἀλλήλοις ὄντα, ταῦτα τὰ πάθη πέπονθε. Ναί. Τὰ δ' ἐναντία γε, ὡς οἷόν τε ἀνομοιότατα. Τί μήν; Κατὰ μὲν ἄρα ἑκάτερον τὸ πάθος ὅμοια ἂν εἴη αὐτά τε αὐτοῖς[9] καὶ ἀλλήλοις· κατὰ δ' ἀμφότερα, ἀμφοτέρως ἐναντιώτατά τε καὶ ἀνομοιότατα. Κινδυνεύει. Οὕτω δὴ τἆλλα, ταυτά τε[10] αὐτοῖς καὶ ἀλλήλοις ὅμοιά τε καὶ ἀνόμοια εἴη ἄν. Οὕτω. Καὶ ταυτὰ[11] δή, καὶ ἕτερα ἀλλήλων, καὶ κινούμενα καὶ ἑστῶτα, καὶ πάντα τὰ ἐναντία πάθη, ἀκέτι χαλεπῶς ἐυρήσομεν πεπονθότα τἆλλα τῷ ἑνός· ἐπείπερ καὶ ταῦτα ἐφάνη πεπονθότα. Ὀρθῶς λέγεις. Οὐκοῦν εἰ[12] ταῦτα μὲν ἤδη ἐῶμεν ὡς φανερά, ἐπισκοποῖμεν δὲ πάλιν, ἓν εἰ ἔστιν ἄρα, καὶ ἆχ ἅτως ἔχει τἆλλα τῷ ἑνὸς, ἢ ἅτω

8. Ald. Baſ. 1 καὶ ὅλα, τὰ μόρια. At iam in Baſ. 2 locus integritati ſuae reſtitutus extat, ſic, καὶ ὅλα καὶ κατὰ τὰ μόρια. Etiam Ficini Verſio Latina habet, *tum tota, tum etiam ſecundum particulas:* et Cornarius in Eclogis verba καὶ κατὰ inſerenda docuit.

9. Ald. Baſ. 1. 2 ἀυτοῖς· hic et vbique.

10. Ald. Baſ. 1. 2 ταῦτά τε. Ficinus, *eadem.*

11. Ald. Baſ. 1 ταῦτα.

12. Stephanus particulam ἀ delendam cenſebat, ita, vt pro ἐπισκοποῖμεν legeretur ἐπισκοπῶμεν· recte. Hauſiſſe videtur hanc emendationem, vt alias plures, e Verſione Latina Ficini, in qua eſt, *Non haec, tanquam perſpicua, praetermittemus, diſpiciemuſque rurſum* —.

ἢ ὅτῳ μόνον; Πάνυ μὲν ἕν. Λέγωμεν δὴ ἐξ ἀρ- 23
χῆς,[1] ἓν εἰ ἔστι, τί χρὴ τἄλλα τοῦ ἑνὸς πεπονθέναι. Λέγωμεν γάρ. Ἆρ' ἕν χωρὶς μὲν τὸ ἓν τῶν ἄλλων, χωρὶς δὲ τἄλλα τοῦ ἑνός; Τί δή; Ὅτι που οὐκ ἔστι παρὰ ταῦτα ἕτερον, ὃ ἄλλο μέν ἐστι τοῦ ἑνὸς, ἄλλο δὲ τῶν ἄλλων. πάντα γὰρ εἴρηται, ὅταν ἐπὶ τὸ, τε ἓν καὶ τἄλλα. Πάντα γάρ. Οὐκ ἄρα ἔτ' ἐστὶν ἕτερον τούτων, ἐν ᾧ τό, τε ἓν ἂν εἴη τῷ αὐτῷ, καὶ τἄλλα. Οὐ γάρ. Οὐδέποτε[2] ἄρα ἐν ταὐτῷ ἐστι τὸ ἓν καὶ τἄλλα. Οὐκ ἔοικε. Χωρὶς ἄρα; Ναί. Οὐδὲ μὴν μόριά γε ἔχειν φαμὲν τὸ ὡς ἀληθῶς ἕν. Πῶς γάρ; Οὔτ' ἄρα ὅλον εἴη ἂν τὸ ἓν ἐν τοῖς ἄλλοις, ἔτε μόρια αὐτοῦ, εἰ χωρίς τε ἐστὶ τῶν ἄλλων καὶ μόρια μὴ ἔχῃ. Πῶς γὰρ ἔ; Οὐδενὶ ἄρα τρόπῳ μετέχοι ἂν τἄλλα τοῦ ἑνὸς, μήτε κατὰ μόριόν τι αὐτοῦ, μήτε κατὰ ὅλον μετέχοντα. Οὐκ ἔοικεν. Οὐδαμῇ ἄρα ἓν τἄλλα ἐστὶν, ὀδ' ἔχει ἐν ἑαυτοῖς ἓν ὀδέν. Οὐ γὰρ ἕν. Οὐδ' ἄρα πολλά ἐστι τἄλλα. ἓν γὰρ ἂν ἦν ἕκαστον αὐτῶν μόριον τοῦ ὅλου, εἰ πολλὰ ἦν. νῦν δὲ ἔτε ἕν, ἔτε πολλὰ, ἔτε ὅλον, ἔτε μόρια ἐστὶ τἄλλα τοῦ ἑνός· ἐπειδὴ αὐτοῦ ὀδαμοῦ μετέχει. Ὀρθῶς. Οὐδ' ἄρα δύο, ἔτε τρία, ἔτε τὰ αὐτά[3] ἐστι τὰ ἄλλα, ἔτε ἔν ἐστιν ἐν αὐτοῖς, εἴπερ τοῦ ἑνὸς πανταχῇ στέρεται. Οὕτως. Οὐδὲ ὅμοια ἄρα καὶ ἀνόμοια, ἔτε ταυτά[4] ἐστι τῷ ἑνὶ τὰ ἄλλα, ἔτε ἔνεστιν[5] ἐν αὐτοῖς ὁμοιότης καὶ ἀνομοιότης. εἰ γὰρ ὅμοια καὶ ἀνόμοια αὐτὰ εἴη, ἢ ἔχει ἐν ἑαυτοῖς ὁμοιότητα καὶ ἀνομοιότητα, δύο που

R 4 εἴδη

1. Ald. Baſ. 1. 2 ἐξαρχῆς.
2. Ald. Baſ. 1. 2 οὐδέποτ'.
3. Ald. Baſ. 1. 2 ἔτε αὐτά. Ficini in Verſione Latina prorſus praetermiſſa ſunt haec verba.
4. Ald. Baſ. 1. 2 αὐτά. At Ficinus, *nec eadem ſunt.*
5. Ald. Baſ. 1. 2 ἔν ἐστιν. Ficinus vero habet, *ineſt.*

εἴδη ἐναντία ἀλλήλοις ἔχοι ἂν ἐν ἑαυτοῖς τἄλλα τῆ ἑνός. Φαίνεται. Ἦν δέ γε ἀδύνατον δυοῖν τινοῖν μετέχειν ἃ μηδενὸς μετέχει. Ἀδύνατον. Οὔτ' ἄρα ὅμοια ἔτ' ἀνόμοιά ἐσιν, ἔτ' ἀμφότερα, τἄλλα. ὅμοια μὲν γὰρ ἂν ὄντα ἦ ἀνόμοια, ἑνὸς ἂν τῆ ἑτέρᾳ εἴδους μετέχοι· ἀμφότερα δὲ ὄντα, δυοῖν τοῖν ἐναντίοιν. ταῦτα δὲ ἀδύνατον [7] ἐφάνη. Ἀληθῆ. Οὐδ' ἄρα τὰ αὐτὰ, οὐδ' ἕτερα· οὐδὲ κινούμενα, οὐδὲ ἑστῶτα· οὐδὲ γιγνόμενα, οὐδὲ ἀπολλύμενα· οὐδὲ μείζω, οὐδὲ ἐλάττω· οὐδὲ [8] ἴσα· οὐδὲ ἄλλο οὐδὲν πέπονθε τῶν τοιούτων. εἰ γάρ τι τοιοῦτον πεπονθέναι ὑπομένει τἄλλα, καὶ ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ περιττῆ καὶ ἀρτίᾳ μεθέξει· [9] ὧν αὐτοῖς ἀδύνατον ἐφάνη μετέχειν, τῆ ἑνός γε πάντη πάντως στερομένοις. Ἀληθέστατα. Οὕτω δὴ ἓν εἰ ἔστι, πάντα τε ἔστι τὸ ἕν, καὶ οὐδὲ ἕν ἐστι καὶ πρὸς ἑαυτὸ καὶ πρὸς τἄλλα ὡσαύτως. Παντελῶς μὲν οὖν. Εἶεν. εἰ δὲ δὴ μὴ ἔστι τὸ ἕν, τί χρὴ συμβαίνειν, ἆρ' ὀ σκεπτέον μετὰ

6. Bas. 2 ἐναντίον· mendose.

7. Marg. Steph. *Vel ἄνευ ante ἀδύνατον addendum, vel ἀδύνατα scribendum, est. Statim post autem est οὐδέτερα in praeced. edit.* recte. At nec dissimulare debebas, bone vir, iam in marg. Bas. 1 pro οὐδέτερα scriptum extare οὐδ' ἕτερα· quam emendationem confirmat, praeter ipsam rem, Versio Ficini Latina, in qua est, *non altera.* Sed ex hac ipsa Versione hausisse videris superiorem illam coniecturam; quae nescio an sit superuacanea, quum recte dici videatur ταῦτα ἐφάνη ἀδύνατον· quae verba Ficinus, per linguae Latinae ingenium, non potuit sane aliter vertere, quam sic, *haec autem impossibilia esse patuit.* Et video, similem locum Platonis allatum esse in Notis a Stephano, lib. 10 de rep. p. 604 ἅμα δύο φαμὲν αὐτῷ ἀναγκαῖον εἶναι· quem tamen nec ipsum suspicabatur carere mendo.

8. Ald. ὁ γάρ· male.

9. Bas. 2 μετέξει· vitiose.

τὰ τᾶτο; Σκεπ]έον γάρ.[10] Τίς ἂν εἴη ἄυτη ἡ ὑπόθεσις, εἰ ἓν μὴ ἔσιν; ἆρά τι διαφέρει τῆσδε, εἰ μὴ ἓν μὴ ἔσι; Διαφέρει μέντοι. Διαφέρει μέν-νον; ἢ καὶ πᾶν τἐναντίον ἔσιν εἰπεῖν, εἰ μὴ ἓν μὴ ἔσι, τᾶ, εἰ ἓν μὴ ἔσι;[11] Πᾶν τἐναντίον. Τί δ' εἴ τις λέγοι, εἰ μέγεθος μὴ ἔσιν, ἢ σμικρότης μὴ ἔσιν, ἢ ἄλλό τι τῶν τοιάτων, ἆρα ἐφ' ἑκάσῳ ἂν δηλοῖ ὅτι ἕτερόν τι λέγει τὸ μὴ ὄν; Πάνυ γε. Οὐκᾶν καὶ νῦν δηλοῖ ὅτι ἕτερον λέγει τῶν ἄλλων τὸ μὴ ὂν, ὅταν εἴπῃ, ἓν εἰ μὴ ἔσι; καὶ ἴσμεν ὃ λέ-γει; Ἴσμεν. Πρῶτον μὲν ἄρα γνωσόν τι λέγει· ἔπειτα ἕτερον τῶν ἄλλων, ὅταν εἴπῃ ἓν, εἴτε τὸ εἶναι αὐτῷ προσθεὶς, εἴτε τὸ μὴ εἶναι. ἐδὲν γὰρ ἧ]ον γιγνώσκεται τί τὸ λεγόμενον μὴ εἶναι, καὶ ὅτι διάφορον τῶν ἄλλων. ἢ ἔ; Ἀνάγκη. Ὧδε ἄρα λεκτέον ἐξ ἀρχῆς, ἓν εἰ μὴ ἔσι, τί χρὴ εἶναι. πρῶτον μὲν ἓν αὐτῷ τᾶτο ὑπάρχειν δεῖ, ὡς ἔοικεν,

10. Ita distinxit verba Stephanus cum Bas. 1. 2. Nam in Ald. post γὰρ est tantum inciſi nota, vt verba σκεπτέον γὰρ cum verbis τίς ἂν ἓν cohaereant. Et superiorem illam rationem Versio Ficini Latina confirmat, in qua est, *Considerandum. Quaenam haec suppositio est, si vnum non est?* Sed Cornarius in Eclogis tuebatur Aldinam distinctionem, ita vt inter verba μετὰ τᾶτο; et σκεπτέον γὰρ, excidisse putaret verbum σκεπτέον· vere, credo. Malim tamen legere, σκεπτέον γάρ. Σκεπτέον, τίς ἂν ἓν —. Caeterum Stephanus in Notis istam Cornarii coniecturam lectoribus pro sua vendere ausus est.

11. Ald. Bas. 1. 2, Steph. τᾶ, ἓν μὴ ἔσι; sed Francof. habet τᾶ, ἃ ἓν μὴ ἔσι; quod recipere non dubitauimus, cum re ipsa iubente, tum Versionis Ficini auctoritate, in qua est, *Si non vnum non est, illius, si vnum non est?* et Cornarii iussu, qui addendam esse particulam ἃ, in Eclogis monuit. Etiam Stephanus in Notis animaduertit, deesse particulam ἃ.

εἶναι αὐτῷ ἐπιστήμην· ἢ μηδὲ ὅ, τι λέγεται γιγνώσκεσθαι, ὅταν τις εἴπῃ ἓν εἰ μὴ ἔστιν. Ἀληθῆ. Οὐκοῦν καὶ τἆλλα ἕτερα αὐτοῦ εἶναι, ἢ μηδὲ ἐκεῖνο
24 ἕτερον τῶν ἄλλων λέγεσθαι; Πάνυ γε. Καὶ ἑτεροιότης ἄρα ἐστὶν αὐτῷ πρὸς τὴ ἐπιστήμη. ὃ γὰρ τὴν τῶν ἄλλων ἑτεροιότητα λέγει, ὅταν τὸ ἓν, ἕτερον τῶν ἄλλων λέγῃ, ἀλλὰ τὴν ἐκείνου. Φαίνεται. Καὶ μὴν τοῦ γε ἐκείνου, καὶ τοῦ τινὸς, καὶ τούτου, καὶ τούτῳ, καὶ τούτων, καὶ πάντων τῶν τοιούτων μετέχει τὸ μὴ ἕν. ὃ γὰρ ἂν τὸ ἓν ἐλέγετο, ὃδ' ἂν τοῦ ἑνὸς ἕτερα, ὃδ' ἐκείνῳ ἄν τι ἦν, ὃδ' ἄν τι ἐλέγετο, εἰ μήτε τοῦ τινὸς αὐτῷ μετῆν, μήτε τῶν ἄλλων τούτων. Ὀρθῶς. Εἶναι μὲν δὴ τῷ ἑνὶ οἷόν τε, εἴπερ γε μὴ ἔστι· μετέχειν δὲ πολλῶν οὐδὲν κωλύει. ἀλλὰ καὶ ἀνάγκη, εἴπερ τό γε ἓν ἐκεῖνο καὶ μὴ ἄλλο μὴ ἔστιν, εἰ μέντοι μήτε τὸ ἓν, μήτ' ἐκεῖνο, μήτ' ἔσαι, ἀλλὰ περὶ ἄλλου τοῦ ὁ λόγος, οὐδὲ φθέγγεσθαι δεῖ οὐδέν· εἰ δὲ τὸ ἓν ἐκεῖνο καὶ μὴ ἄλλο ὑπόκειται μὴ εἶναι, καὶ τοῦ ἐκείνου καὶ ἄλλων πολλῶν ἀνάγκη αὐτῷ μετεῖναι. Καὶ πάνυ γε. Καὶ ἀνομοιότης ἄρα αὐτῷ ἔστι πρὸς τἆλλα. τὰ γὰρ ἄλλα, τοῦ ἑνὸς ἕτερα ὄντα, ἑτεροῖα καὶ εἴη ἄν. Ναί. Τὰ δ' ἑτεροῖα, οὐκ ἀλλοῖα; Πῶς δ' οὔ; Τὰ δὲ ἀλλοῖα, οὐκ ἀνόμοια; Ἀνόμοια μὲν ἦν. Οὐκοῦν εἴπερ τῷ ἑνὶ ἀνόμοιά ἐστι, δῆλον ὅτι ἀνομοίῳ τά γε ἀνόμοια ἀνόμοια ἂν εἴη. Δῆλον. Εἴη δ' ἂν καὶ τῷ ἑνὶ ἀνομοιότης, πρὸς ἣν τἆλλα ἀνόμοια αὐτῷ ἐστιν. Ἔοικεν. Εἰ δὲ δὴ τῶν ἄλλων ἀνομοιότης ἔστιν αὐτῷ, ἆρ' οὐκ ἀνάγκη ἑαυτοῦ ὁμοιότητα αὐτῷ εἶναι; Πῶς; Εἰ ἑνὸς ἀνομοιότης ἐστὶ τῷ ἑνὶ, οὐκ ἂν πω περὶ τοῦ τοιούτου ὁ λόγος εἴη, οὔτε τοῦ ἑνός· ὃδ' ἂν ἡ ὑπόθεσις εἴη περὶ ἑνὸς, ἀλλὰ περὶ ἄλλου ἢ ἑνός. Πάνυ γε. Οὐ δεῖ δέ γε. Οὐ δῆτα. Δεῖ ἄρα ὁμοιότητα τῷ ἑνὶ αὐτοῦ ἑαυτῷ

τῷ εἶναι. Δεῖ. Καὶ μὴν οὐδ' αὖ ἴσον γ' ἐστὶ τοῖς ἄλλοις. εἰ γὰρ εἴη ἴσον, εἴη τε ἂν ἤδη καὶ ὅμοιον ἂν εἴη αὐτοῖς κατὰ τὴν ἰσότητα. ταῦτα δ' ἀμφότερα ἀδύνατα, εἴπερ μὴ ἔστιν ἕν. Ἀδύνατα. Ἐπειδὴ δὲ ἐκ ἔστι τοῖς ἄλλοις ἴσον, ἆρα ἐκ ἀνάγκη καὶ τἄλλα ἐκείνῳ μὴ ἴσα εἶναι; Ἀνάγκη. Τὰ δὲ μὴ ἴσα, ἐκ ἄνισα; Ναί. Τὰ δὲ ἄνισα, ἐ τῷ ἀνίσῳ ἄνισα; Πῶς δ' ἔ; Καὶ ἀνισότητος δὴ μετέχει τὸ ἕν, πρὸς ἣν τἄλλα αὐτῷ ἔσιν ἄνισα; Μετέχει. Ἀλλὰ μέντοι ἀνισότητος ἐστὶ μέγεθός τε καὶ σμικρότης. Ἔστι γάρ. Ἔσιν ἄρα καὶ μέγεθός τε καὶ σμικρότης τῷ τοιούτῳ ἑνί; Κινδυνεύει. Μέγεθος μὴν καὶ σμικρότης ἀεὶ ἀφέσατον ἀλλήλοιν. Πάνυ γε. Μεταξὺ ἄρα τι αὐτοῖν ἀεί ἐσιν. Ἔσιν. Ἔχεις ἔν τι ἄλλο εἰπεῖν μεταξὺ αὐτοῖν ἢ ἰσότητα; Οὔκ· ἀλλὰ τοῦτο. Ὅτῳ ἄρα ἐστὶ μέγεθος καὶ σμικρότης, ἔστι καὶ ἰσότης αὐτῷ, μεταξὺ τούτοιν ὄσα. Φαίνεται. Τῷ δὲ ἑνὶ μὴ ὄντι, ὡς ἔοικε, καὶ ἰσότητος ἂν μετείη καὶ μεγέθους καὶ σμικρότητος. Ἔοικε. Καὶ μὴν ἀσίας γε δεῖ αὐτὸ μετέχειν πη.[1] Πῶς δή; Ἔχειν αὐτὸ δεῖ ὅτως ὡς λέγομεν. εἰ γὰρ μὴ ὅτως ἔχει, ἐκ ἂν ἀληθῆ λέγοιμεν ἡμεῖς, λέγοντες τὸ ἓν μὴ εἶναι· εἰ δὲ ἀληθῆ, δῆλον ὅτι ὄντα αὐτὰ λέγομεν. ἦ ἐχ ὅτως; Οὕτω μὲν ἔν. Ἐπειδὴ δὲ φαμὲν ἀληθῆ λέγειν, ἀνάγκη ἡμῖν φάναι καὶ ὄντα λέγειν. Ἀνάγκη. Ἔσιν ἄρα, ὡς ἔοικε, τὸ ἓν ἐκ ὄν. εἰ γὰρ μὴ ἔσαι μὴ ὄν, ἀλλά τι τὸ εἶναι ἀνήσει[2] πρὸς τὸ μὴ εἶναι, ἐυθὺς ἔσαι ὄν.[3] Παντάπασι μὲν ἔν. Δεῖ ἄρα αὐτὸ

1. Ald. Baf. 1. 2 πῆ.

2. Scholiaſtes Auguſtanus interpretatur ἀφήσει ἢ ἀναπήσει· vt Heſychius: Ἀνήσει· ἀναπήσει, ἀφήσει. Quae quidem interpretamenta docent, librarium Codicis Auguſtani perperam ἀνήσει ſcripſiſſe pro ἀνήσει.

3. Marg. Stephan. γε ἔσαι

αὐτὸ δεσμὸν ἔχειν τοῦ μὴ εἶναι, τὸ εἶναι μὴ ὄν, εἰ μέλλει μὴ εἶναι· ὁμοίως ὥσπερ τὸ ὄν, τὸ μὴ ὂν ἔχειν μὴ εἶναι, ἵνα τελέως αὖ εἶναι ᾖ. οὕτως [4] γὰρ ἂν τό, τε ἂν μάλιστ' ἂν εἴη, καὶ τὸ μὴ ὂν οὐκ ἂν εἴη· μετέχοντα, τὸ μὲν ὄν, οὐσίας τοῦ εἶναι ὄν· μὴ οὐσίας δὲ, τοῦ εἶναι μὴ ὄν· εἰ μέλλει τελέως εἶναι. τὸ δὲ μὴ ὄν, μὴ οὐσίας μὲν τοῦ μὴ εἶναι μὴ ὄν, οὐσίας δὲ τοῦ εἶναι μὴ ὄν· εἰ καὶ τὸ μὴ ὂν αὖ τελέως ἔσται. Ἀληθέστατα. Οὐκοῦν, ἐπείπερ τῷ τε ὄντι, τοῦ μὴ εἶναι, καὶ τῷ μὴ ὄντι, τοῦ εἶναι μέτεστι, καὶ τῷ ἑνὶ, ἐπειδὴ οὐκ ἔστι, τοῦ εἶναι ἀνάγκη μετεῖναι, εἰς τὸ μὴ εἶναι. Ἀνάγκη. Καὶ οὐσία δὴ φαίνεται τῷ ἑνὶ, εἰ μὴ ἔστι. Φαίνεται. Καὶ μὴ οὐσία ἄρα, εἴπερ μὴ ἔστι. Πῶς δ' οὔ; Οἷόν τε οὖν, τὸ ἔχον πως, [5] μὴ ἔχειν οὕτω, μὴ μεταβάλλον ἐκ ταύτης τῆς ἕξεως; Οὐχ οἷόν τε. Πᾶν ἄρα τὸ τοιοῦτον μεταβολὴν σημαίνει, ὃ ἂν οὕτω τε καὶ μὴ οὕτως ἔχῃ. Πῶς δ' οὔ; Μεταβολὴ δὲ, κίνησις; ἢ τί φήσομεν; Κίνησις. Οὐκοῦν τὸ ἓν, ὄν τε καὶ οὐκ ὂν ἐφάνη; Ναί. Οὕτως ἄρα καὶ οὐχ οὕτως ἔχον φαίνεται. Ἔοικε. Καὶ κινούμενον ἄρα τὸ οὐκ ὂν, ἓν πέφανται· ἐπείπερ καὶ μεταβολὴν ἐκ τοῦ εἶναι ἐπὶ τὸ μὴ εἶναι ἔχον. Κινδυνεύει. Ἀλλὰ μὴν, εἰ μηδαμοῦ γέ [6] ἐστι τῶν ὄντων, ὡς οὐκ ἔστιν, εἴπερ μὴ ἔστιν, οὐδ' ἂν μεθίσταιτο ποθέν ποι. Πῶς γάρ; Οὐκ ἄρα τῷ γε μεταβαίνειν κινοῖτ' ἄν. Οὐ γάρ. Οὐδὲ μὴν ἐν τῷ αὐτῷ ἂν στρέφοιτο. ταυτοῦ γὰρ οὐδαμοῦ ἅπτεται. ὂν γάρ ἐστι τὸ ταυτόν. τὸ δὲ μὴ ὄν; ἔν τῳ τῶν ὄντων ἀδύνατον εἶναι. Ἀδύνατον γάρ. Οὐκ ἄρα τὸ ἓν, μὴ ὄν, στρέφεσθαι

ἔσται μὴ ὄν· scilicet in Bas. 2. Ficinus, *statim erit ens.*

4. Ald. Bas. 1 ὄντως.

5. Bas. 2 πῶς· male.

6. Ald. Bas. 1. 2 τέ.

σθαι ἂν δύναιτο ἐν ἐκείνῳ ἐν ᾧ μὴ ἔστιν. Οὐ γὰρ ἦν. Οὐδὲ μὴν ἀλλοιῶταί πᾳ τὸ ἓν ἑαυτῷ, ἤτε τὸ ὂν, ἤτε τὸ μὴ ὄν. ἃ γὰρ ἂν ἦν ὁ λόγος ἔτι περὶ τῷ ἑνὸς, εἴπερ ἠλλοιῶτο αὐτὸ ἑαυτῷ, ἀλλὰ περὶ ἄλλα τινός. Ὀρθῶς. Εἰ δὲ μήτ' ἀλλοιῶται, μήτε ἐν ταυτῷ στρέφεται, μήτε μεταβαίνει, ἆρ' ἄν πη ἔτι κινοῖτο; Πῶς δή; Τό γε μὴν ἀκίνητον ἀνάγκη ἡσυχίαν ἄγειν, τὸ δὲ ἡσυχάζον, ἑστάναι. Ἀνάγκη. Τὸ ἓν ἄρα, ὡς ἔοικεν, οὐκ ὂν, ἕστηκέ τε καὶ κινεῖται. Ἔοικε. Καὶ μὴν, εἴπερ γε κινεῖται, μεγάλη ἀνάγκη αὐτῷ ἀλλοιοῦσθαι. ὅπη γὰρ ἄν τι κινηθῇ, κατὰ τοσοῦτον ἀνέθ' ὡσαύτως ἔχει ὡς εἶχεν, ἀλλ' ἕτερως. Οὕτω. Κινούμενον δὲ τὸ ἓν, καὶ ἀλλοιοῦται. Ναί. Καὶ μὴν μηδαμῇ γε κινούμενον, ἐδαμῇ ἂν ἀλλοιοῖτο. Οὐ γάρ. Ἦι μὲν ἄρα κινεῖται τὸ οὐκ ὂν ἓν, ἀλλοιοῦται· ᾗ δὲ μὴ κινεῖται, οὐκ ἀλλοιοῦται. Οὐ γάρ. Τὸ ἓν ἄρα μὴ ὂν ἀλλοιοῦταί τε καὶ οὐκ ἀλλοιοῦται. Φαίνεται. Τὸ δ' ἀλλοιούμενον ἆρ' οὐκ ἀνάγκη γίγνεσθαι μὲν ἕτερον ἢ πρότερον, ἀπόλυσθαι δὲ ἐκ τῆς προτέρας ἕξεως; τὸ δὲ μὴ ἀλλοιούμενον, μήτε γίγνεσθαι μήτε ἀπόλυσθαι; Ἀνάγκη. Καὶ τὸ ἓν ἄρα, μὴ ὄν, ἀλλοιούμενον μὲν, γίγνεταί τε καὶ ἀπόλυται· μὴ ἀλλοιούμενον δὲ, οὔτε γίγνεται, οὔτε ἀπόλυται. καὶ ἔτω τὸ ἓν μὴ ὄν, γίγνεταί τε καὶ ἀπόλυται καὶ οὔτε γίγνεται, οὔτ' ἀπόλυται. Οὐ γάρ. Αὖθις δὴ ἐπὶ τὴν ἀρχὴν ἴωμεν πάλιν, ἐψόμενοι[1] εἰ ταυτὰ ἡμῖν φανεῖται ἅπερ καὶ νῦν, ἢ ἕτερα. Ἀλλὰ χρή. Οὐκοῦν, ἓν εἰ μὴ ἔστι, ἔφαμεν[2] τί χρὴ περὶ αὐτῷ συμβαίνειν; Ναί. Τὸ δὲ μὴ ἔστιν ὅταν λέγωμεν, ἆρα μὴ ἄλλό τι σημαίνει ἢ οὐσίας ἀπουσίαν τούτῳ ὃ ἂν φῶμεν μὴ εἶναι; Οὐδὲν ἄλλο. Πότερον

1. Ald. ἐψόμενον. 2. Ald. Bas. 1. 2 φαμέν.

ρον ἕν, ὅταν φῶμεν μὴ εἶναί τι, πῶς ἂν εἶναι φαμὲν αὐτὸ, πῶς δὲ εἶναι; ἢ τοῦτο τὸ μὴ ἔστι, λεγόμενον, ἁπλῶς σημαίνει, ὅτι ἀδαμῶς ἀδαμῆ ἐστιν, ἀδέ πη μετέχει οὐσίας, τό γε μὴ ὄν; Ἁπλόσατα μὲν ἕν. Οὔτε ἄρα δύναιτο εἶναι ἂν τὸ μὴ ὂν, ἔτε ἄλλως ἀδαμῶς οὐσίας μετέχειν. Οὐ γάρ. Τὸ δὲ γίγνεσθαι καὶ τὸ ἀπόλλυσθαι, μή τι ἄλλο ἢ, ἢ τὸ μὲν οὐσίας μεταλαμβάνειν, τὸ δ' ἀπολλύναι οὐσίαν; Οὐδὲν ἄλλο. Ὅτι δέ γε μηδὲν τούτων μέτεστιν, ὅτ' ἂν λαμβάνοι ὅτ' ἀπολλύοι αὐτό. Πῶς γάρ; Τῷ ἑνὶ ἄρα, ἐπειδὴ ἀδαμῆ ἐστιν, ἔτε ἐκτέον, ἔτε ἀπαλλακτέον, ἔτε μεταληπτέον οὐσίας μηδαμῶς. Εἰκός. Οὔτε ἄρα ἀπόλλυται τὸ μὴ ὂν ἓν, ἔτε γίγνεται, ἐπείπερ ἀδαμῆ μετέχει οὐσίας. Οὐ φαίνεται. Οὐδ' ἄρ' ἀλλοιοῦται ἀδαμῆ. ἤδη γὰρ ἂν γίγνοιτό τε καὶ ἀπολλύοιτο τοῦτο πάσχον. Ἀληθῆ. Εἰ δὲ μὴ ἀλλοιοῦται, οὐκ ἀνάγκη μηδὲ κινεῖσθαι; Ἀνάγκη. Οὐδὲ μὴν ἑσάναι φήσομεν τὸ μηδαμοῦ ὄν. τὸ γὰρ ἑσὼς, ἐν τῷ αὐτῷ τινὶ ἀεὶ δεῖ εἶναι τῷ αὐτῷ.[3] Πῶς γὰρ ἄ; Οὕτω δὴ αὐτὸ μὴ ὂν, μήτε ποτὲ ἑσάναι μήτε κινεῖσθαι λέγωμεν. Μὴ γὰρ ἕν. Ἀλλὰ μὴν ἓν ἔστι γε αὐτῷ τι τῶν ὄντων. ἤδη γὰρ ἂν τοῦτο μετέχον ὄντος, οὐσίας μετέχοι. Δῆλον. Οὔτε ἄρα μέγεθος, ἔτε σμικρότης, ἔτε ἰσότης αὐτῷ ἐστίν. Οὐ γάρ. Οὐδὲ μὴν ὁμοιότης γε, οὐδὲ ἑτεροιότης, ἔτε πρὸς αὐτὸ[4] ἔτε πρὸς τἄλλα εἴη ἂν αὐτῷ. Οὐ φαίνεται. Τί δέ; τἄλλα ἔσθ' ὅπως ἂν εἴη αὐτῷ, εἰ μηδὲν αὐτῷ δεῖ εἶναι;

3. Stephanus aut τὸ αὐτὸ reponendum censebat, aut aliud quid pro τῷ αὐτῷ, quod superuacaneum esset, scribendum. Certe Ficinus in Latina Versione habet simpliciter, *quod enim stat, in aliquo eodem semper esse oportet*, ita, vt τῷ αὐτῷ suis in Codicibus videatur non inuenisse.

4. Ald. Bas. 1. 2 αὐτό.

εἶναι; Οὐκ ἔστιν. Οὔτε ἄρα ὅμοια, ἔτε ἀνόμοια, ἔτε ταυτὰ, ἔτε ἕτερα ἐστὶν αὐτῷ τὰ ἄλλα. Οὐ γάρ. Τί δέ; τὸ ἐκείνῳ, ἢ τὸ ἐκείνῳ, ἢ τὸ τί, ἢ τὸ τῶτο, ἢ τὸ τότε, ἢ ἄλλῳ, ἢ ἄλλῳ· ἢ ποτὲ, ἢ ἔπειτα, ἢ νῦν· ἢ ἐπιστήμη, ἢ δόξα, ἢ αἴσθησις, ἢ λόγος, ἢ ὄνομα, ἢ ἄλλο ὁτιῶν τῶν ὄντων περὶ τὸ μὴ ὂν ἔσαι; Οὐκ ἔσαι. Οὕτω δὴ ἓν ἀκ ὂν ἀκ ἔχει πως ἀδαμῆ. Οὐκῆν [5] δὴ ἔοικέ γε ἀδαμῆ ἔχειν. Ἔτι δὴ λέγωμεν, ἓν εἰ μὴ ἔστι, τἄλλα τί χρὴ πεπονθέναι. Λέγωμεν γάρ. Ἀλλὰ μέν [6] πῃ δεῖ αὐτὰ εἶναι. εἰ γὰρ μηδὲ ἄλλα ἐστὶν, ἀκ ἂν περὶ τῶν ἄλλων λέγοιτο. Οὕτως Εἰ δὲ περὶ τῶν ἄλλων ὁ λόγος, τά γε ἄλλα ἕτερά ἐστιν. ἢ ἀκ ἐπὶ τῷ αὐτῷ καλεῖς τό, τε ἄλλο καὶ τὸ ἕτερον; Ἔγωγε. Ἕτερον δέ γέ πῃ φαμὲν, τὸ ἕτερον εἶναι ἑτέρᾳ, καὶ τὸ ἄλλο δὴ ἄλλο εἶναι ἄλλῃ; Ναί. Καὶ τοῖς ἄλλοις ἄρα, εἰ μέλλοι ἄλλα εἶναι, ἔστι τι ᾧ ἄλλα ἔσαι. Ἀνάγκη. Τί δὴ ἓν ἂν εἴη; Τῷ μὲν γὰρ ἑνὸς ἀκ ἔσαι ἄλλα, μὴ ὄντος γε. Οὐ γάρ. Ἀλλήλων ἄρα ἐστί. τῶτο γὰρ αὐτοῖς ἔτι λείπεται, ἢ μηδενὸς εἶναι ἄλλοις. Ὀρθῶς. Κατὰ πλήθη ἄρα ἕκασα ἀλλήλων ἄλλα ἐστί. κατὰ ἓν γὰρ ἀκ ἂν οἷά τε εἴη, μὴ ὄντος ἑνός. ἀλλ' ἕκασος, ὡς ἔοικεν, ὁ ὄγκος αὐτῶν ἄπειρός ἐστι πλήθει· κἂν τὸ σμικρότατον δοκῆν εἶναι λάβῃ τις, ὥσπερ ὄναρ ἐν ὕπνῳ φαίνεται, ἐξαίφνης ἀντὶ ἑνὸς δόξαντος εἶναι πολλὰ, καὶ ἀντὶ σμικροτάτε παμμέγεθες πρὸς τὰ κερματιζόμενα ἐξ αὐτῆ. Ὀρθότατα. [7] Τοιάτων δὴ ὄγκων ἄλλα ἀλλήλων εἴη ἂν τὰ ἄλλα, εἰ ἑνὸς μὴ ὄντος ἄλλα ἐστί.

5. Marg. Stephan. *Rectius* οὐκῆν *scriberetur.* rectissime. Etiam Ficinus vertit, *Non sane videtur vllo modo aut vsquam se habere.*

6. Leg. μήν.

7. Bas. 1. 2 ὀθότατα. mendose.

ἐσί. Κομιδῇ μὲν ἕν. Οὐκοῦν πολλοὶ ὄγκοι ἔσονται, εἷς ἕκαστος φαινόμενος, ὧν δὲ ἕ, εἴπερ ἓν μὴ ἔσαι; Οὕτω. Καὶ ἀριθμὸς δὲ εἶναι αὐτῶν δόξει, εἴπερ ἓν ἕκαστον, πολλῶν ὄντων. Πάνυ γε. Καὶ τὰ μὲν δὴ, ἄρτια, τὰ δὲ, περιτ]ὰ ἐν αὐτοῖς ὄντα, ἐκ ἀληθῶς φαίνεται, εἴπερ ἓν μὴ ἔσαι. Οὐ γὰρ ἕν. Καὶ μὴν καὶ σμικρότατόν γε, φαμὲν, δόξειεν αὐτοῖς εἶναι. φαίνεται δὲ τοῦτο πολλὰ καὶ μεγάλα, πρὸς ἕκαστον τῶν πολλῶν, ὡς σμικρῶν ὄντων. Πῶς δ' ἕ; Καὶ ἴσος μὴν τοῖς πολλοῖς καὶ σμικρὸς ἕκαστος ὄγκος δοξασθήσεται εἶναι. ἃ γὰρ ἂν μετέβαινεν ἐκ μείζονος εἰς ἔλατ]ον φαινόμενος, πρὶν εἰς τὸ μεταξὺ δόξειεν ἐλθεῖν. τοῦτο δ' εἴη ἂν φάντασμα ἰσότητος. Εἰκός. Οὐκοῦν καὶ πρὸς ἄλλον ὄγκον πέρας ἔχων, αὐτός τε πρὸς αὐτὸν,[8] ἅτε ἀρχὴν, ἅτε πέρας, ἅτε μέσον ἔχων; Πῇ δή; Ὅτι ἀεὶ αὐτῶν ὅταν τὶς τὶ λάβῃ τῇ διανοίᾳ, ὥς τι τούτων ὄν, πρό τε τῆς ἀρχῆς, ἄλλη ἀεὶ φαίνεται ἀρχή· μετά τε τὴν τελευτὴν, ἑτέρα ὑπολειπομένη τελευτή· ἔν τε τῷ μέσῳ, ἄλλα μεσαίτερα τοῦ μέσου· σμικρότερα δὲ, διὰ τὸ μὴ δύνασθαι ἑνὸς αὐτῶν ἑκάστου λαμβάνεσθαι· ἅτε ἐκ ὄντος τοῦ ἑνός. Ἀληθέστατα. Θρύπ]εσθαι[9] δὲ, οἶμαι, κερματιζόμενον ἀνάγκη πᾶν τὸ ὄν, ὃ ἄν τις λάβῃ τῇ διανοίᾳ. ὄγκος γάρ που ἑνὸς ἄνευ λαμβάνοιτο ἄν. Πάνυ μὲν ἕν. Οὐκοῦν τό γε τοιοῦτον πόῤῥωθεν μὲν ὁρῶντι, καὶ ἀμβλὺ, ἓν φαίνεσθαι ἀνάγκη· ἐγγύθεν δὲ, καὶ ὀξὺ νοοῦντι, πλήθει ἄπειρον ἓν ἕκαστον φανῆναι, εἴπερ σέρεται τοῦ ἑνὸς μὴ[10] ὄντος; Ἀναγκαιότατον μὲν ἕν. Οὕτω δὴ ἄπειρά τε καὶ πέρας ἔχοντα, καὶ ἓν καὶ πολλὰ, ἕκαστα τὰ ἄλλα δεῖ[11] φαί-

8. Ald. Baſ. 1. 2 ἀυτόν.
9. Ald. Baſ. 1 θρύπτεται· male.
10. Ald. μί.
11. Ald. Baſ. 1. 2 δή· male.

Φαίνεσθαι, ἐν εἰ μὴ ἔστι· τἆλλα δὲ τῶ ἑνός. Δεῖ γάρ. Οὐκοῦν καὶ ὅμοιά τε καὶ ἀνόμοια δόξει εἶναι; Πῆ δή; Οἷον ἐσκιαγραφημένα, ἀποσάντι μὲν ἓν πάντα φαινόμενα, ταυτὸν φαίνεσθαι πεπονθέναι καὶ ὅμοια εἶναι. Πάνυ γε. Προσελθόντι δέ γε, πολλὰ καὶ ἕτερα, καὶ τῷ τῶ ἑτέρω φαντάσματι, ἑτεροῖα καὶ ἀνόμοια ἑαυτοῖς. Οὕτω. Καὶ ὁμοίως δὴ καὶ ανομοίως τὲς ὄγκως αὐτές τε ἑαυτοῖς ἀνάγκη φαίνεσθαι καὶ ἀλλήλοις. Πάνυ μὲν ἦν. Οὐκοῦν καὶ τὲς αὐτὲς καὶ ἑτέρως ἀλλήλων, καὶ ἁπτομένως καὶ χωρὶς ἑαυτῶν, καὶ κινεμένως πάσας κινήσεις, καὶ ἑσῶτας πανταχῆ· καὶ γιγνομένως καὶ ἀπολλυμένως, καὶ μηδέτερα, καὶ πάντα πε τὰ τοιαῦτα, ἃ διεξελθεῖν ἐυπετὲς ἡμῖν ἤδη, εἰ ἑνὸς μὴ ὄντος πολλά ἐστιν. Ἀληθέστατα μὲν ἦν. Ἔτι δὴ ἅπαξ ἐλθόντες πάλιν ἐπὶ τὴν ἀρχὴν, εἴπωμεν, ἐν εἰ μὴ ἔστιν, τἆλλα δὲ τῶ ἑνὸς, τί χρὴ εἶναι. Εἴπωμεν γὰρ ἦν. Οὐκοῦν ἓν μὲν ἂν ἔσαι τἆλλα. Πῶς γάρ; Οὐδὲ μὴν πολλά γε. ἐν γὰρ πολλοῖς ἔσιν εἴη ἂν καὶ ἕν. εἰ γὰρ μηδὲν αὐτῶν ἐσὶν ἓν, ἅπαντα ἀδέν ἐστιν. ὥστε οὐδ' ἂν πολλὰ εἴη. Ἀληθῆ. Μὴ ἑνόντος δὲ ἑνὸς ἐν τοῖς ἄλλοις, ἔτε πολλὰ, ἔτε ἕν ἐστι τἆλλα. Οὐ γάρ. Οὐδέ γε φαίνεται ἓν, οὐδὲ πολλά. Τί δή; Ὅτι τἆλλα τῶν μὴ ὄντων ἀδενὶ ἀδαμῆ ἀδαμῶς ἀδεμίαν κοινωνίαν ἔχει· οὐδέ τι τῶν μὴ ὄντων παρὰ τῶν ἄλλων τῳ ἐστίν. οὐδὲν γὰρ μέρος ἐστὶ τοῖς μὴ ἔσιν. Ἀληθῆ. Οὐδ' ἄρα δόξα τῶ μὴ ὄντος παρὰ τοῖς ἄλλοις ἐσὶν, οὐδέ τι φάντασμα· οὐδὲ δοξάζεται οὐδαμῆ οὐδαμῶς τὸ μὴ ὂν ὑπὸ τῶν ἄλλων. Οὐ γὰρ ἦν. Ἓν ἄρα εἰ μὴ ἔστιν, οὐ δοξάζεταί τι τῶν ἄλλων ἓν εἶναι, οὐδὲ πολλά. ἄνευ γὰρ ἑνὸς πολλὰ δοξάσαι

12. Bas. 1 ὅμοια. 1. Bas. 1 τῷ.

ξάσαι ἀδύνατόν. Ἀδύνατον γάρ. Ἓν ἄρα εἰ μὴ ἔστι, τἆλλα ἔστε ἔστιν, ἔστε δοξάζεται ἓν ἔστε πολλά. Οὐκ ἔοικεν. Οὐδ' ἄρα ὅμοια, οὐδὲ ἀνόμοια. Οὐ γάρ. Οὐδὲ μὴν τὰ αὐτά γε, οὐδ' ἕτερα·[2] οὐδὲ ἁπτόμενα, οὐδὲ χωρίς· οὐδὲ ἄλλα ὅσα ἐν τοῖς πρόσθεν διήλθομεν, ὡς φαινόμενα[3] αὐτὰ, τούτων ἔστέ τι ἔστιν, ἔστε φαίνεται τἆλλα, ἓν εἰ μὴ ἔστιν. Ἀληθῆ. Οὐκοῦν καὶ συλλήβδην εἰ εἴποιμεν, ἓν εἰ μὴ ἔστιν, οὐδέν ἐστιν, ὀρθῶς ἂν εἴποιμεν; Παντάπασι μὲν οὖν. Εἰρήσθω τοίνυν τοῦτό τε, καὶ ὅτι, ὡς ἔοικεν, ἓν εἴτ' ἔστιν εἴτε μὴ ἔστιν, αὐτό τε καὶ τἆλλα καὶ πρὸς αὐτὰ[1] καὶ πρὸς ἄλληλα, πάντα πάντως ἐστί τε καὶ οὐκ ἔστι, καὶ φαίνεταί τε καὶ οὐ φαίνεται. Ἀληθέστατα.[4]

2. Ald. Baſ. 1. 2 οὐδέτερα· ſed marg. Baſ. 1 οὐδ' ἕτερα. Ficinus, *aut altera*, vt ſupra f. 23.

3. Ald. Baſ. 1. 2 αὐτά.

4. Ald. Baſ. 1. 2 addunt Τέλος Παρμενίδου, ἢ περὶ ἰδεῶν.

INDEX PRIMVS
SCRIPTORVM VETERVM
QVI
IN NOTIS LAVDANTVR ILLVSTRANTVR EMENDANTVR

A

Aelianus 114
Albinus 101. 208
Ammonius 116. 179
Antiphanes 133
Antiphon 133
Apostolius 70 f.
Aristophanes 119
Aristoteles 210
Athenaeus 101. 109. 114

C

Cicero 25 f. 225
Clemens Alexandrinus 3. 5. 42. 101. 104. 109

D

Demetrius Phalereus 125
Diogenes Laërtius 3. 52. 101. 207. 209

E

Etymologus M. 4. 9. 13. 116. 132. 142. 195
Euripides 124. 196
Eusebius 51 f. 53. 59. 101. 125. 129. 132. 134
Eustathius 120

G

Galenus 3 f. 27 f. 101
Gellius 207
Glossaria Vetera 157
Grammaticus MS. 66. 133

H

Harpocratio 4. 133
Herodotus 153
Herodianus Grammaticus 203
Hesiodus 60. 124 f. 131
Hesychius 9. 11. 15. 42. 51. 59 f. 79. 114. 116 f. 133. 142. 146. 157. 163. 226. 267
Hippocrates 32
Homerus 5. 11

I

Ibycus 225

M

Macrobius 207
Moeris 9. 55. 60. 79. 83. 114. 120. 158. 185. 213. 233

O

Oppianus 13
Origenes 210. 215

P

Parmenides 43. 57. 81
Phrynichus 208
Plato 3. 52. 97. 110. 133. 141. 226. 233. 264
Plinius Maior 114
Plutarchus 4
Pollux 9. 12. 13 f. 72. 81. 101. 107. 110. 114. 122. 132 f. 147 f. 152. 159. 163. 165 f. 191. 198 f. 202. 208
Priſcianus 110

S

Scholiaſtes Auguſtanus 70. 78. 83. 102. 116. 156 f. 166. 179. 195. 202. 215. 267
— *Ariſtophanis* 70. 110
— *Euripidis* 102
Sextus Empiricus 43
Sophocles 211
Stobaeus 9 f. 12. 14. 35. 40. 48. 84. 86. 89. 92. 104. 139. 142. 150. 168. 190 f. 203. 207. 219. 228. 237
Suidas 3. 11. 13. 51. 70 f. 90. 101 f. 117. 125. 135. 152 f. 157. 164 f. 180. 202. 211. 215. 225
Symmachus, V. T. Interpres, 110
Syneſius 215

T

Thomas Magiſter 44. 185
Timaeus, Grammaticus, 5. 6 f. 12 f. 16. 23 f. 26. 31. 44. 61. 81. 83. 97. 102 f. 105. 107. 122 f. 125. 131. 151 f. 156. 165. 167. 179. 182. 194. 211. 215

X

Xenophon 52. 60. 196. 238

INDEX SECVNDVS
VERBORVM GRAECORVM
QVAE IN NOTIS VEL ILLVSTRANTVR VEL A LIBRARIIS INTER SE COMMVTATA NOTANTVR

Α

Ἄβυθος et ἄμυθος 215
Ἄγαμαι 194
Ἀγυρμὸς 132
Αἰδητὸς et αἰδητικὸς 157
Ἄκαιρα et ἀκέραια 194
Ἀκέραιος et ἀκριβὴς 123
Ἀλλήλων et ἀδήλων 124 f.
Ἄλλό τι 79
Ἄλλων et ἀλλήλων 136
Ἀμηγέπη 83
Ἀμφαδὸν et ἀναφανδὸν 11
οἱ Ἀμφὶ Παρμενίδην 4
Ἀμφισβητήσει et ἀμφισβητῆται 122
Ἀμφισβητικὸς et ἀμφισβητητικὸς 21. 23
Ἀναστᾶν et ἀποστᾶν 9
Ἀνοητία 124
Ἀνύτην 31
Ἄξονες 179
Ἀπαλλάττειν et παραλλάττειν 30
Ἀπέσβηκε et ἀπέσβη 125
Ἄπλετος, et ἄπλητος, et ἄπλατος 60
Ἀποκνῶ 44
Ἀποκτιννύναι 185
Ἀπορήσης 21 f.
Ἀπόρρησις 81
Ἀπτὴς et πτηνὸς 139
Ἀργυραμοιβὸς 165
Ἄρτι, vel ἀρτίως, et ἄρτιον 115
Ἀρχὴ et μάχη 173
Ἀσπαλιεὺς et ἀσπαλιευτὴς 9
Ἀτεχνία 72
Ἄττα 78
Ἄττα 105
Αὖτ' et αὐτ' 156
Αὐτὴ et ἄυτη 93. 198
Αὐτὴ et ταύτη 159
Αὐτὸς et μόνος coniunguntur 196
Ἄφεσις et φύσις 134

Β

Βαβαὶ 66
Βλακικὰ 195
Βράττειν 24
Βράττειν et θράττειν 24

Γ

Γε et τε 87. 103. 108. 228
Γελοιότερον et γελοιότερα 25
Γενέσεσιν et γένεσιν 201
Γένοιντο et δίνοιντο 255
Γερανοβοτία 114
Γέ τινος et γάτεγος 166
Γιγνώσκ 64

Γινόμενον, et κινούμενον, et κοινούμενον 117

Δ

Δαὶ et δὲ 61
Δέοντι et δέον δὴ 138
Διαιρεῖν construitur simpliciter cum Accusatiuo 153
Διακολλητικὰ et διακωλυτικὰ 148
Διάνημα et διάνθημα 198
Διαττᾷν 24
Διαφορὰ et διαφθορὰ 27
Διαφορότης 233
Διζήσιος et διζήμενος 43. 81
Διηθεῖν 24
Διπλόη 97
Δίχα σχίζειν et διχάζειν 115
Δύναμις et δυναστεία 130
Δυσωπεῖσθαι 156

Ε

Ἐγκαιρία et εὐκαιρία 291
Ει terminatio secundae personae Singularis Passiuorum et Mediorum Attica 109 f.
Εἰ et ἦ 244
Εἴδη et ἤδη 168
Εἰδωλοποιϊκὴ et εἰδωλοποιητικὴ 91
Εἶεν 102
Εἰκάζειν 107
Εἶμεν et ἦμεν 123
Εἴξασι 31. 167
Εἴτε et ἔτι 214
Εἴτ' εἰς et εἴ τις 62
Ἕκαστον et ἐκεῖνον 184
Ἔκγονοι et ἔγγονοι 52
Ἐκδιδόναι 52
Ἐμὴν χάριν 51
Ἓν et ἐν 244
Ἐναντιοποιολογικὴ et ἐναντιολογικὴ 98
Ἕν τε et εἴτε 246
Ἔν τε et ἕν τε 46
Ἐνυδροθηρικὸν et ἐνυγροθηρικὸν 15
Ἔνυδρον et ἔνυγρον 14
Ἐπηνέσαμεν et ἐπηνέγμαμεν 194
Ἐπίκλην 15
Ἐρεῖ et αἱρεῖ 233
Ἕτερα et ἑταῖρα 139 f.
Ἕτερος et ἑταῖρος 4
Εὐηνίως 7
Εὐήτριον 202
Εὐήτριον et ἐυήτθιον 202
Εὐρυκλῆς 70 f.
Ἐφερμηνεύειν et ἀφερμηνεύειν 63

Η

Ἦ γὰρ 122
Ἤδη et εἴδει 46
Ἥκιστα 9
Ἦπου 157
Ἦτον et ἧττον 236
Ηἶ τοῦ et ἦτον 112

Θ

Θαμὰ 213
Θεραπεύοντες et θεράποντες 171
Θῆτες 165
Θράττειν 215
Θυραυλεῖν 131
Θῶμεν et φῶμεν 123

Ι

Ἰδιότροπος et ἰδιοτρόφος 109
Ἴσχειν 79

Κ

Καθίστασαν et καθέστασαν 128
Καὶ ἔνια et κατ' ἔνια 12
Καὶ μὴν 160

Καλυν-

Καλυνδᾶσθαι et κυλινδᾶσθαι 97
Κάταγμα 152
Κατὰ πόδα 54
Κατὰ τὴν ἐμὴν 141
Κομιδῇ 23
Κομίζειν et κοσμεῖν 130
Κύρβις 179
Κύρτος 12 f.
Κωμῳδεῖν 211

Λ

Λάκαινα σύλακες 211
Λόγος et τρόπος 139
Λοχέα 122

Μ

Μαγευτικὴ et μαγγανευτικὴ 148 f.
Μαιευτικὴ 122
Μαλακίζεσθαι 50
Μέλλειν et μεταβάλλειν 145
Μέλον et μέλλον 25
Μὲν et μὴν 6. 56. 160. 192. 194. 208
Μεταβάλλειν 145
Μεταβάλλειν et μεταλλάττειν 167
Μεταποιεῖσθαι 165
Μετρικὸς et μετρητικὸς 158 f.
Με φθῆς et μεμφθῆς 119
ἡ Μικτὸς 121
Μῶν 55
Μώνυξ 117

Ν

Νεαλὴς 116
Νέμεσθαι construitur cum Nominatiuo 238
Νῆμα 198
Νόσον et ὅσον 28
Νυθετικὸς et νυθετητικὸς 21. 31
Νυμφευτὴς 122
Νῦν δὴ 105
Νῶϊν 103

Ο

Οἶαξ 133
Ὀκνεῖν 44
Ὅλον et ὅσον 126
Ὄντων et ὄντως 89
Ὄντων et ὤτων 28
Ὅποι et ὁποῖα 26
Ὅτι sequuntur Infinitiui 161
Οὐκεῖν et ἄκειν 45. 124. 144. 152. 168. 271
Οὔκειν et ἤκουν 48
Οὔτε ἐπὶ τότε 159
Οὕτως et ὄντως 67
Οὐχ ἥκιστα 5

Π

Παθήματα et μαθήματα 39
Παθῶν et πασῶν 29
Παιδία et παιδιὰ 124
Παιδιὰ et παιδέα 195. 197
Πάλαι et πάλιν 55
Παρὰ et περὶ 60
Παρὰ πόδα 51
Παραπετάσματα 146
Πέλαγος 226
Πέλαγος et πλῆθος 226
Περιελόντες et περιλέγοντες 123
Περιτυγχάνειν 59
Περιωπὴ 133
Πεττεία 182
Πιλητικὴ et πολιτικὴ 148
Πίπτειν σπέρματα 132 f.
Πόρκος 13
Πότερον et τὸ ἕτερον 82
Πρώτερον et πρότερον 91
Προτάττεσθαι ἔκ τινος τὸ ζῆν 20
Πρότερος et τελευταῖος 129
Πῶς et πως 23

Ρ

ῥύμη 42

Σ

σκήπτεσθαι 6
σχηματίζεσθαι 97

Τ

ταλασιυργία 151
τὰ πολλὰ 8
ταῦτα *et* ταυτὰ 58. 126. 144. 248
τάχος *et* τέλος 129
τέχνα *et* τέκνα 28
τι *et* τοι 18
τί δὲ *et* τῇδε 137 f.
τί μὴν 16. 61
τιμῆμα *et* κτῆμα 186
τόδε *et* τόγε 190
τὸν *et* τύτε 23
τῷ *et* τιῳ 61

Υ

ὑμᾶς *et* ἡμᾶς 55
ὕπαρ 142

Φ

φάθι 158
φελλὸς 163
φλαῦρον 26

Χ

χηνοβοτία 114
χρέως 120

Ω

ὥσε *omittitur ante Infinitivos* 187

ADDENDA ET CORRIGENDA

P. 52 *not.* 11 *v.* 23 *leg.* intelleguntur Heraclitus et Empedocles: *et p.* 53 *not.* 11 *v.* 10 *poſt* p. 18 ff. *inſere*, Heraclitus autem fuit Epheſo oriundus, Ioniae vrbe: et μέσοι tribuuntur omnino iis, qui *ingenio* valent, atque adeo etiam *philoſophis*, non tantum poëtis: *ibid* v. 18 *poſt* legendum eſt *adde*, Docet enim ibi diligentius, cur Heraclito tribuantur συντονώτεροι τῶν μεσῶν, Empedocli μαλακώτεροι. Caeterum reſpexit ad hunc locum Platonis Themiſtius orat. 15 p. 362 Petau.

P. 56 *not.* 5 *v.* 5 *leg.* particulae μὴν occuparat.

P. 101 *not.* ** *poſt* f. 5 *adde*, Sed Stephanus Πολιτικῶ addidiſſe videtur, vt Πολιτικὸς eſſet ipſius Dialogi Index, non nomen, quo declararetur, quo e genere Dialogus eſſet: vt in ſequentis Dialogi Indice τὰ τῷ Δ᾽ αλόγῳ Παρμενίδης πρόσωπα. Sed haec et alia huius generis additamenta Grammaticis debentur, non ipſum Platonem habent auctorem.

P. 115 *not.* 8 *v.* 9 *poſt verba* nec ſoleat *adde*, Fortaſſis tamen malit quis legere ἀρτίως: vt f. 23 p. 151 ὅσα ἀρτίως ὀνόματα ἐρρήθη.

P. 155 *not.* 4 *v.* 12 *poſt* Codice *inſere*, inueniſſe.

P. 204 *v.* 3 *leg.* ἀμπίσχυσα — εὐδαίμονι.

47631 LGr
Author Plato P718F.
Title Dialogi tres, ed. by Fischer.
DATE. NAME OF BORROWER.

University of Toronto Library

DO NOT REMOVE THE CARD FROM THIS POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED